Πρώτον ὦ καλὲ θεόδωρε, ἐτυγχάνομεν γὰρ μηχανικῷ ἐργαστηρίῳ ἐργαζόμενοι, καὶ ἐπυνθάνετο εἴ τις εἴη μέθοδος, δι᾽ ἧς δυνατὸν ἀρατείαν σφαῖραν κατασκευάσαι οὕτως, ὥστε τὰ ἐν αὐτῇ ζώδια πρὸς ἄλληλά τε, καὶ πρὸς τοὺς ἐν τῇ σφαίρᾳ γραφομένους κύκλους, καὶ ἔτι πρὸς ἀνατέλλοντα μέρη τοῦ ζωδιακοῦ, θέσιν ἔχειν σύμφωνον τοῖς ὑπὸ τοῦ Ἀράτου λεγομένοις. ἐτύγχανον γὰρ ἐν τοιαύτῃ τινὰ σφαῖραν ἐργαζόμενος, ἐλπιδίῳ καὶ σχολαστικῷ αὐδρὶ ἀξιολόγῳ, ὁμοῦ καὶ φιλομαθεῖ. ἐγὼ δὲ τό τε σχολῆς τινος ἐγγενομένης, οὐδὲν ἔφην. νῦν δ᾽ ἐπεὶ καὶ οἱ ἄλλοι τινὲς τῶν ἑταίρων παρακαλοῦσι, καὶ λόγον τινὰ περὶ τούτου γράψαι, ἔρχομαι τῇ σὴν προθυμίαν ἐκτελῶν. ἔσω δὲ δῆλον ὅτι τοῖς πρώτοις μάλιστα ἀναγινώσκουσι τὰ ἀράτεια, χρήσιμος ὁ λόγος, εἴτε μέλλοιεν καὶ τὰ λεγόμενα καταλαμβάνειν. πᾶσαι γὰρ, ὡς οἶδα, αἱ νῦν φερόμεναι σφαῖραι, Πτολεμαίῳ μὲν (ὡς εἰκὸς) ἔν τισιν, Ἀράτῳ δὲ καὶ τὸ πλεῖστον τὸ συμφωνοῦσι, ὥστε τοῖς πρώτως μάλιστα ἀναγινωσκόντων τὰ ἀράτεια, οὐ μὲν δυσχερῶς ἐφικνεῖται τῶν λεγομένων. τινὰς δὲ μηδ᾽ ὅλως παρακολουθεῖν δεινάσθαι, καί τοι ἐπενοήθησαν μὲν αἱ τοιαῦται σφαῖραι, πρὸς τὸ νοεῖν σαφῶς τὸν Ἄρατον. διὸ δὴ καὶ παρωνύμως ἀπ᾽ αὐτοῦ λέγονται, καθὼς καὶ ἔφαμεν ἐν τοῖς πλείοσι, αὐτῷ οὐ συμφωνοῦσι. διὸ δὴ καὶ ἡμεῖς πειρασόμεθα ὡς μάλιστα δυνατὸν, καὶ ὅδε πλεῖστον τῶν ἄλλων σύμφωνον τῇ ὑποκειμένῃ σφαῖραν κατασκευάσαι. ἰστέον δὲ ὅτι τὰ περὶ τῶν ἄστρων τῷ Ἀράτῳ εἰρημένα, οὐ πάνυ καλῶς εἴρηται, ὡς ἐστὶ ἔκτε τῶν Ἱππάρχῳ καὶ Πτολεμαίῳ συντεταγμένων, περὶ τούτων μαθεῖν. αἴτιον δὲ πρῶτον μὲν, ἐπεὶ καὶ τὰ Εὐδόξου, οἷς μάλιστα ἠκολούθησεν ὁ Ἄρατος, οὐ λίαν ὀρθῶς εἰλήπται. ἔπειτα δὲ ὅτι καὶ οὐ πρὸς τὸ ἀκριβὲς, ὡς φησι Σπόρος ὁ ὑπομνηματιστὴς, ἀλλὰ πρὸς τὸ χρήσιμον τοῖς ναυτιλομένοις,

ταῦτα οὕτως διαγέγραπται, εἰκότως τε ὁλοχερέστερον περὶ τῶν διαλαμβάνει. καὶ γὰρ καὶ οἱ πλωϊζόμενοι, οὐ διὰ μηχανικῶν ὀργάνων μὴ ἀκριβῶς, ἀλλὰ διὰ ψιλῆς αὐαβλέψεως, καὶ παχυμερῶς τῶν τῶν ἀστέρων θέσιν ἔμελλον ἐπισκοπεῖν, ὥστε καὶ ἡ κατασκευαζομένη σφαῖρα, πῶς μὴ ἄκραν ἀλήθειαν ἐλαμῶς, πῶς δὲ κατάληψιν τῶν ἀρατείων, καὶ πάνυ χρήσιμος. ἐάδιον ἂν γνόντες ἅπαξ τὰ ἀράτεια, τά τε μὴ καλῶς ἐν αὐτοῖς ἔχοντα, καὶ ὡς ἔχει ἀληθείας λέγοντός τινος καταμαθεῖν, ὥστε εἰ πῶς τὴν ἀλήθειαν, διὰ μέσου τινὸς συμβάλλεται ὁ λόγος. ἀλλὰ μὴν οὔτε ἐκεῖνο λαθεῖν χρὴ, οὔτε τὸν περὶ τῶν ἀστέρων λόγον, εἰς πρία μέρη διαιρεῖ ὁ Ἄρατος. καὶ ἐν μὲν τῷ πρώτῳ διδάσκει, περὶ μὲν πῶς ἄλληλα αὐτῶν θέσεως, ὥστε ὅταν λέγῃ, ὅτι αἱ ἄρκτοι κεῖνται, τὰς κεφαλὰς ἔχουσαι, ἐπὶ τὰς ἀλλήλων ἰξύνας νενευκυῖαι. ἐν δὲ τῷ δευτέρῳ, περὶ μὲν νοουμένης αὐτῶν ὑπὸ μὲν τῶν κύκλων τομῆς, ἢ ὁποιασοῦν αὐτῶν πῶς αὐ κύκλου θέσεως, οἷον ὑπὸ ὑποδείγματος. τομῆς μὲν, ὅτι οἱ δίδυμοι τέμνονται ὑπὸ τοῦ θερινοῦ τροπικοῦ κατὰ τὰς κεφαλάς. θέσεως δὲ, ὅτι αὐτὸς ἐγχύς ἐστι τοῦ ἰσημερινοῦ. ἐν δὲ τῷ λοιπῷ περὶ τῶν γενομένης αὐτῶν, πῶς τὰ ἀνατέλλοντα μέρη τοῦ ζωδιακοῦ κάσεως. οἷον ὅτι καρκίνου μὴ ἀνατέλλοντος, διὰ τοῦ ἡμισυ τοῦ σεφάνου. χηλῶν δὲ ἀνατελλουσῶν, ἀνατέλλει τὸ ἥμισυ αὐτοῦ. καὶ ὅτι λέοντος ἀνατέλλοντος, καὶ θυμιατήριον ὁρᾶτε τὴν δύσιν. καὶ τὰ παραπλήσια, ὥστε ἂν θελήσωμεν ἕκαστον τοῦ ζωδίου καὶ πάντα συμφώνως ἐν τάξει, δείξει τοῖς βιβλίοις τόποις ἐντυγχάνοντας, ἐπισκέψασθαι ἔτι λέγονται περὶ τοῦ ἡμιτουμένου ζωδίου, εἰ καὶ μέρος ἐν τοῦ ἑνὶ, ἤτοι καὶ ἐν τοῖς δυσὶν, ἢ καὶ ἐν βρεσὶ τμήμασιν, ἐὰν οὕτω τύχῃ περὶ αὐτοῦ τὰ λεγόμενα εἰς ἓν συναγαγόντας, ἐν τινι πτυχίῳ, ἤτοι χαρτίῳ, πῶς ἂν ἕτοιμον χρήσασθαι, οἷον σαφηνείας ἕνεκεν τοῦ λεγομένου ἡμῖν, περὶ τοῦ ὀφιούχου ὁ λόγος.

ΠΕΡΙ ΤΟΥ ΟΦΙΟΥΧΟΥ.

Τούτου καὶ γὰρ ἐν τοῖς βιβλίοις τόποις μέμνηται, ἐπειδὴ τοίνυν ἐν τῷ πρώτῳ μέρει λέγει περὶ αὐτοῦ, ὅτι ὁ ὀφιοῦχος κεῖται

κεῖται ὀρθός. τῷ μὲν κεφαλὴν ἔχων πρὸς τῷ κεφαλῇ τῶν
γονάσι. τοὺς δὲ πόδας ἀδὶ τοῦ δράκοντος τοῦ σκορπίου, ἐπὶ
τοῦ ὀφθαλμοῦ, καὶ ὅτι πόδι τὸ μέσον εἰλεῖται ὁ ὄφις καὶ γὰρ
ταῖς χερσὶν αὐτοῦ στρέφεται. ὀλίγος μὲν τῇ δεξιᾷ, πολὺς δὲ
εἰς τὸ ὕψος τῇ ἀριστερᾷ. καὶ ὅτι τὰ γόνατα τῶν κατ' αὐτὸν ὄφε-
ως, παράκειται δεῖ στεφάνῳ. ἔτι δ' ὅτι ἔχει ἀστέρας ἐπὶ μὲν τῶν ὤμων λαμπρὸς, ἐπὶ δ' τῶν χειρῶν ἐλάττων λαμπρούς. καὶ ὅτι ὑποκά-
τω τῶν ἀστέρων τῶν ὀφεώς εἰσιν αἱ χηλαί. καὶ τέμνει μὴν ὑπὸ τὸν χει-
μερινὸν τροπικὸν καὶ τοὺς ὤμους, ὑπὸ δ' τὸν ἰσημερινὸν, καὶ τὰ γόνα
τα. γὰρ δὲ τῷ τρίτῳ, πάλιν παράδειγμα, ὅτι καρκίνου μὲν ἀνα-
τέλλοντος, δύεται ἀεὶ γόνατος ἕως τῶν ὤμων, κατάγων τὸν
ὄφιν, ἕως ἐγγὺς τοῦ αὐχένος. σκορπίου δὲ ἀνατέλλοντος, ἀνα
τέλλουσιν αἱ κεφαλαὶ αὐτῶν, καὶ αἱ χεῖρες τοῦ ὀφιούχου, καὶ
ἡ προτέρα καμπὴ τοῦ ὄφεως. τοξότου δὲ ἀνατέλλοντος, ἀνα
τέλλει ἡ πεῖρα τοῦ ὄφεως, καὶ τὸ σῶμα τοῦ ὀφιούχου πάντα
ταῦτα συναγαγόντες, γὰρ τινι τόπῳ ἀπογραψώμεθα. ὁμοίως
δὲ καὶ ἀδὶ τῶν ἄλλων ποιητέον. πρόκειται γὰρ ἐπὶ ταῖς ἐφό
δοις καὶ ἀκόποις, τοὺς γὰρ τυγχάνοντας παρασκευάζειν, καὶ τὰ
πόδι τῶν ἄλλων ζωδίων ἑκάστου τὰ κῆ μέρος λεγόμενα, εἰς γὰρ
συνάψαντες, ὁμοίως τοῖς ἐπὶ τοῦ ὀφιούχου εἰρημένοις, γὰρ δεῖ
τέλει τοῦ λόγου παραθήσομεν. κἀκεῖνο μὴν τοι χρήσιμον ὂν
πρὸς τὸ προκείμενον, καλῶς ἔχει παραβάλλειν, ὅτι ἐξ γὰρ ταῖς
κρατείαις σφαίραις κύκλους, γὰρ τακτέον. πρῶτον, τὸν μέγι-
στον τῶν ἀεὶ φανερῶν, τὸν ἀρκτικὸν ὀνομαζόμενον. δεύτερον,
τὸν θερινὸν τροπικόν. τρίτον, τὸν ἰσημερινόν. τέταρτον, τὸν χει
μερινὸν τροπικόν. πέμπτον τὸν μέγιστον τῶν ἀεὶφανῶν, τὸν καὶ ἀν
ταρκτικὸν προσαγορευόμενον. ἕκτον, τὸν ζωδιακόν, τὸν καὶ ἐ-
φαπτόμενον τῶν τροπικῶν. πόδι μὴ καὶ τῶν τεσσάρων, λέγω δὴ τῶν θε
ρινῶν καὶ ἰσημερινῶν, καὶ τῶν χειμερινῶν καὶ τῶν ζωδιακῶν, πολλὰ ποιεῖν
λόγον. πόδι δ' τῶν λοιπῶν, γὰρ ἀργῶς μὲν ὀ μέμνηται. ἐξ οὗ δὲ φη
σι πόδι τοῦ δράκοντος, ὅτι ἐκεῖνο ἡ κεφαλὴ, κατ' ἐκεῖνο τὸ μέ-
ρος ὄν τοῦ οὐρανοῦ, καθ' ὃ αἵτε ἀνατολαὶ καὶ αἱ δύσεις μίγ-
νυνται ἀλλήλοις, δῆλον ποιεῖν, ὅτι τῷ κεφαλῇ τοῦ δράκον-
τος γὰρ δεῖ μεγίσῳ τῶν ἀεὶ φανερῶν βάλλειν ἐστίν. ὅτος γὰρ καὶ μό

νος

νος διὰ τῆς βορείας κοινῆς τομῆς τοῦ τε ἀναφορικοῦ ἡμικυκλίου τοῦ ὁριζόντος, καὶ τοῦ δυτικοῦ τῶν περιφορῶν ποιεῖται. ἀφ' δὲ τούτου καὶ τὸν αὐταρκτικόν, ὁμοιόντε καὶ ἴσον ὄντα τοῦ ἀρκτικῷ, γνωριστέον. δῆλον δὲ ὅτι καὶ ἑτέρως πολὺ τῶν δύο κύκλων τούτων, ἐξ αὐτῶν πάλιν τῶν ἀρατείων παραμυθήσασθαι. τῶν ἢ τοῦ γάλακτος ζώνων, ὀκ γνωστέον, ἐπειδὴ πῶς τοῦ ποικίλων εἶν, οὐδὲ πολλὴν πόδι αὐτῶν κατάβαλλε μνήμων. ὅτι δὲ ποικίλη ὄτι, καὶ πολυεργοτέρας ἐπισάσεως δεομένη, δῆλον ἐξ ὧν Πτολεμαῖος γὰ τῷ ὀγδόῳ βιβλίῳ τῆς συντάξεως φησιν. οὐ γὰρ ὁμαλὴ τίς ὄτιν, ὀδὲ τεταγμένη, ἀλλὰ καὶ τοῦ πλάτε, καὶ τῷ χρώματι, Πῇ πυκνότητι, καὶ τῇ θέσει διάφορος. δεῖ ἢ ἑκάτερον μὴ τῶν τροπικῶν ἀπέχειν, τοῦ ἰσημερινοῦ μεγίσου ὄντος, πᾶς δεδειγμένας τοῦ Πτολεμαίῳ γὰ τοῦ τεταρτῷ βιβλίῳ τῆς συντάξεως, μοίρας κδ. ἑκάτερον ἢ τῶ ἄλλων, λέγω δὴ τόντε ἀρκτικὸν Πῇ τὸν αὐταρκτικὸν, ἀπέχειν τῶ καθ' ἑαυτὸν πόλε τῆς σφαίρας μοίρας μα, εἴτε μέλλε συμφώνως τῷ Ἀῤατῷ τὸ ὑπὲρ γῆν τμῆμα τοῦ θερινοῦ, τουτέστι ἡ μεγίστη ἡμέρα, τοιούτων εἶν πέντε. οἷον ὅλος ὁ θερινός, τουτέστι ὅλον τὸ νυχθήμερον ὀκτώ. ἡ γὰρ τῶν τοιούτων θέσιν τῆς σφαίρας, καὶ τὸ τοσόνδε μέγεθος τῆς μεγίστης ἡμέρας σώζεται, ὡς ὀλίγῳ ὕστερον μαθησόμεθα. τούτων δὲ οὕτως ἡμῖν διειλημμένων, ἔλθωμεν ἐπὶ τὸ προκείμενον. τάσις μὲν δὴ ἡ ἐπὶ τοῖς λίσσιν ἴτυς, ἣ δὴ καὶ ὁριζόντος τάξιν ποιεῖται. καὶ ἕτερος ἢ ἴσος μὴ τῇ βάσει, καὶ φέρων τὴν σφαῖραν κρικῶν. μεσημβρινοῦ δὲ λεγὲ τάξιν ἔπεχων, ὁμοίως μὲν ταῖς τῶν ταῖς ἄλλαις σφαίραις γίνονται. ἐτιμελῶς ἢ καὶ τεχνικῶς ὄτως, ὥστε τῶν σφαῖραν πάνθεν μὴ ἴσον ἀπέχειν, ἀφ' τῆς κοίλης ἐπιφανείας, τοῦτε ὁρίζοντος, Πῇ τοῦ μεσημβρινοῦ. διχοτομεῖται ἢ ὑπὸ τῆς ἄνωθεν τοῦ ὁριζόντος ἐπιφανείας. ὅπερ ἢ ἔσται, ἐὰν καὶ ὁ μεσημβρινὸς μέσην τε, καὶ ἡ διάμετρον τῶν σφαῖραν διχα τέμνων τὸν ὁρίζοντα, καὶ αὐτὸς διχοτομεῖται ὑπὸ τῆς ἄνωθεν τοῦ ὁριζόντος ἐπιφανείας. ἔχοντες ἢ πρότερον τοῦ ὑπὲρ γῆν ἐσομένου ἡμικυκλίου, ὡς ἔθος, μίαν πλευρὰν εὐθείας γραμμαῖς καὶ διάμετρον κειμένας, εἰς τὰς μοίρας διηρημένην, τουτέστι εἰς ἑκατὸν τῶ,

ἴσα

ἴσα τμήματα πῶς τῶν τῆς ἁρμάτων, ἤτοι κλιμάτων ἐπίγνωσιν. καὶ χρώσαντες τῶν σφαῖραν, ἐὰν ἡ ξυλίνη, καὶ παραπλάσαντες πρῶτον μὲν γύψῳ ἢ κηρίῳ, ὥστε καὶ τὰς ἐν αὐτῇ ῥαγάδας, ἐὰν ἄρα τύχωσι, θεραπεῦσαι. ἔπειτα δὴ ξηραινομένου τούτου δικλαδὴ, καὶ ἄλλῳ βαθεῖ τινι χρώματι ἐπαλείψαντες, οἷον ὑπὸ καλαμένῳ λαζουρίῳ, ἀφιστάντες δὴ κλονότι μετὰ τὸ ξηρανθῆναι, ὧν τοῦ διηρημένου τοῦ μεσημβρινοῦ ἡμικρικίου, ἀπὸ τοῦ βορείου πόλου, μοίρας μᾶ κατατιθεμεν καὶ τοῦ ἑτέρου τέρατος, παρὰ τὴν μᾶ μοιρῶν διαστάσεως, τουτέστι καὶ τὴν ἀφοριζούσης τὴν διηρημένην τοῦ ἡμικρικίου πλευρᾶ, τῶν μᾶ μοιρῶν παραφέρειαν βελόνην τινὰ, ὀρθὴν μὲν πῶς τῶν κυρτῶν, καὶ τῶν κοιλῶν τοῦ ἡμικρικίου ἐπιφάνειαν, τουτέστι νεύουσαν ὧν τὸ μέσον τῆς σφαίρας. τέμνουσαν δὴ ὧν πόσον καὶ διεισδύουσαν τὰ πόρρω τῶν σφαῖραν χρώματα. ἐὰν ἄρα ταύτης μένουσης ἀκινήτου, παρεστρέψωμεν τῶν σφαῖραν ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ, τουτέστι ὧδε μίαν στροφὴν αὐτῶν κινήσομεν, ἐκτρενδυθήσεται ἡμῖν κύκλος τῶν αὐτῶν τάξιν ἔχων, καὶ ὁμοταγῆ τῷ καὶ τὸν Ἄρατον ἀρκτικῷ κύκλῳ. ἐπεὶ γὰρ καὶ τοῦτον, ὡς ἔφαμεν, ὁ ἀρκτικὸς κύκλος ἀπέχει ἀπὸ βορείου πόλου μοίρας μᾶ. ὁμοίως δὲ ἀποστάντες ἀπὸ μὲν τοῦ βορείου, ἢ νοτίου πόλου μοίρας γενενήκοντα, γράψομεν τὸν ἰσημερινόν. ἀπὸ δὲ τοῦ νοτίου, μοίρας πάλιν μᾶ, γράψομεν τὸν ἀνταρκτικόν, ἴσον τε καὶ ὅμοιον ὄντα τῷ ἀρκτικῷ. ἔτι δὴ ἀφιστάντες μοίρας κδ, ἀπὸ τοῦ καὶ τὸν ἰσημερινὸν θυθείας, ὧν ἡ τὸ βόρειον μέρος, χαράξομεν τὸν θερινὸν τροπικόν. ἐπὶ δὴ τὸ νότιον, τὸν χειμερινὸν τροπικόν. καὶ γὰρ ἐπὶ τούτων ἑκάτερος, ὡς ἔφαμεν, ἀπέχει ἀπὸ τοῦ ἰσημερινοῦ μοίρας κδ. πάλιν δὴ ἀποστάντες ἀπὸ τοῦ αὐτοῦ ἡμικρικίου, καὶ ἀπὸ τοῦ βορείου πόλου, μοίρας κδ, ὅσον καὶ οἱ τροπικοὶ ἀπὸ τοῦ ἰσημερινοῦ διεσήκασι. λάβωμεν τι σημεῖον ἀπὸ τοῦ ἐπιφανείας τοῦ σφαίρας, ᾧ πόλῳ χρησάμενοι, διαστήματι δὴ τοῦ πόλου πλευρᾶ, τοῦ εἰς τὸ μέγιστον κύκλον ἐγγραφομένου. γράψομεν δὲ διὰ τοῦ διαβήτου τοῦ λεγομένου καρκίνου, τὸν χωριακὸν κύκλον, ἐφαπτόμενον διηνεκῶς τοῦ τροπικῶν. διχοτομουμένων δὴ ὑπὸ τοῦ ἰσημερινοῦ, ὃν εἰς ι β ἴσα μερίσαντες, τὰς ἀρχὰς τῶν δωδεκατημορίων, ἀπὸ τε τοῦ καὶ τὸν ἰσημερινὸν αὐτοῦ τομῶν,

καὶ τῶν πρὸς τὰς τροπικὰς αὐτῆς ἐπαφὴν ποιησάμενοι, συμφωνόμεθα τοὺς μὲν ἐξ κύκλους, ἑτέρῳ τινὶ παρὰ τὴν βαθεῖ χρώματι, γράψομεν τε λεύκῳ τινὶ εἰ τύχοι, καὶ ξανθῷ χρώματι, πρὸς τὸ μετὰ τῶν χρῶν αὐξηρῶς ἀπαλειφθῆναι δυνάσθαι. πρὸς μὲν τῇ πρὸς τὸν θερινὸν ἐπαφῇ τὸ τοῦ καρκίνου ὄνομα, διὰ τὸ γνταῦθα τῶν ἀρχὴν εἶναι, τοῦ καρκῖνον δωδεκατημορίου. πρὸς δὲ τῇ ἑφεξῆς διαιρέσει, καὶ ἐπ' ἀνατολῶν τὸ τοῦ λέοντος ὄνομα, ἐπεὶ καὶ αὐτὴ ἡ διαίρεσις, πέρας μὲν ὄντι τοῦ καρκίνου, ἀρχὴ δὲ τοῦ καὶ τὸν καρκῖνον δωδεκατημορίου. πρὸς δὲ τῇ τρίτῃ πάλιν καὶ ἐπ' ἀνατολὰς τὸ τῆς παρθένου, καὶ οὕτως ἐφεξῆς ἀκολούθως, ἕως οὗ πάντων τῶν δωδεκατημορίων τὰ ὀνόματα, καὶ τὸν οἰκεῖον τόπον σημανόμεθα. τούτων δ' ὄντων ἐχόντων, ἐὰν χαλάσωμεν τὸν καὶ τὸν μεσημβρινόν, διὰ τῶν τοῦ ὁρίζοντος γνόμων, δηλαδὴ εἰς τὴν βάσιν ὄντων, ὥστε ἑκάτερον τῶν μικρῶν κύκλων, τουτέστι τόν τε ἀρκτικὸν καὶ τὸν ἀνταρκτικόν, στρεφομένης τῆς σφαίρας, ἅπτεσθαι τοῦ ἄνω τοῦ ὁρίζοντος ἐπιφανείας καὶ τῆς κάτω. ἀλλὰ τὸν μὲν ἀρκτικὸν τοῦ ἄνω, τὸν δὲ ἀνταρκτικὸν τῆς κάτω, εὔδηλον ὅτι ὁ θερινὸς καὶ ὁ χειμερινός, ἑκάτερος διαιρεθήσεται ὑπὸ τοῦ ἀνωθεν τοῦ ὁρίζοντος ἐπιφανείας καὶ τῆς κάτω, καὶ λόγον τῶν ιε πρὸς τοῖς θ. τουτέστι, ἔσται ὡς μὲν τοῦ θερινοῦ τροπικοῦ, τὸν μὴ ὑπὲρ τὸν ὁρίζοντα, καὶ ὡσανεὶ τῆς ἡμέρας τμήματα τοιούτων ιε ὡρῶν. οἷον, ἔσω ὅλος ὁ κύκλος, τουτέστι τὸν νυχθήμερον κδ. τὸν δὲ ὑπὸ τὸν ὁρίζοντα, καὶ τὸν τοῦ νυκτὸς διάστημα, ὡρῶν θ. ὡς δὲ τοῦ χειμερινοῦ ἀνάπαλιν, τὸ μὲν ὑπὲρ γῆν θ, τὸ δὲ ὑπὸ γῆν ιε. καὶ γὰρ τῶν τοιαύτῃ θέσιν τῆς σφαίρας, τουτέστι ἐφ' ἧς ὁ μέγιστος τῶν ἀεὶ φαινομένων κύκλων, μετὰ μοῖραν ἀπὸ τοῦ πόλου διέσυκε, καὶ τοιαύτη τομὴ τῶν κύκλων γίνεται, ὡς δείκνυσιν ὁ Πτολεμαῖος καὶ τῷ δευτέρῳ βιβλίῳ τῆς συντάξεως, ὁ αὐτὸς λόγος ὅν τῶν ιε πρὸς τὰ θ, καὶ ὁ τῶν ε πρὸς τὰ τρία. καὶ γὰρ ὁ πέντε ἔχει ὅλον τε τὸν γ, καὶ τῶν δίμοιρον αὐτοῦ τὸν δύο, ὥσπερ ὁ ιε ἔχει ὅλον τὸν θ, καὶ τὸ δίμοιρον αὐτοῦ τὰ ἓξ, ὥστε καὶ τῶν τοιαύτῃ θέσιν τῆς σφαίρας, οἷον μὲν ὡς τοῦ θερινοῦ τροπικοῦ τὸ ὑπὲρ γῆν τμῆμα ε, τοιοῦτον τὸ ὑπὸ γῆν γ. οἷον δὲ ὡς τοῦ χειμερινοῦ, τὸ ὑπὲρ γῆν τρίτον, τοιοῦτον τὸ ὑπὸ γῆν ε συμφώνως τοῖς

ὑπὸ

ὑπὸ τ Ἀράτου λεγομένοις. ἐπελθόντες εἰς τὴν βάσιν, καὶ τὸν εἰρημένον τρόπον τοῦ ἰσημερινοῦ, εἰ πειρεψαιμεν τὴν σφαῖραν, ἕως οὗ ἡ ἀρχὴ τ ♈ τὸν καρκῖνον διὰ τοῦ ἑκατεμορίου, ἀνατείλῃ ἐν τῷ αὐτῷ ἐπιπέδῳ γενομένη, τῇ ἄνω τοῦ ὁρίζοντος ἐπιφανείᾳ, ἀσφαλισάμενοι τὴν σφαῖραν, τουτέστι κυρῶ ἢ τινὶ τοιούτῳ, ἀκίνητόν τε αὐτὴν ποιήσαντες, γράφομεν πάλιν ἐν τῇ σφαίρᾳ κύκλον, ἐρχόμενον διὰ τ ἀρχῆς τοῦ καρκίνου. ὁμοταγῆ δὲ καὶ ἐν τῷ αὐτῷ ἐπιπέδῳ γινόμενον. πάντοτε τῷ ὁρίζοντι καὶ τὴν τοῦ εἰρημένου διὰ τοῦ ἑκατεμορίου ἀνατολήν. γράφομεν δὲ αὐτὸν βελόνῃ τινί, πυξιφέροντες μὲν αὐτὴν, κατ' ὀλης τ τοῦ ὁρίζοντος πυξιφερείας. οὕτως δ' αὐτὴν σχηματίζοντες, ὥστε τὸν δι' αὐτῆς ἐγγραφόμενον ἐν τῇ σφαίρᾳ κύκλον, ἐν τῷ αὐτῷ, ὡς ἔφαμεν, ἐπιπέδῳ γενέσθαι τῇ ἄνω τ ὁρίζοντος ἐπιφανείᾳ, ἐπιγράψαντες τὸν κύκλον διὰ ὀλίγων γραμμάτων. καὶ ἡ τὸ ἀνατολικὸν αὐτοῦ ἡμικύκλιον, καρκίνου ἀνατολικόν, καὶ ἡ τὸ δυτικὸν καρκίνου δυτικόν, τουτέστι σημειωσάμενοι ὧδε τ ἡμικυκλίων, ἐγγράψαντες γράμματα τινά. οἷον ὅτι ἐὰν μὲν ὦσι τὸ καὶ τὴν ἀνατολὴν τοῦ καρκίνου, τουτέστι ὅταν ἡ ἀρχὴ τ ♈ τὸν καρκῖνον διὰ τοῦ ἑκατεμορίου ἀνατείλῃ. ποῖον μὲν ἐν τῇ σφαίρᾳ ἡμισφαίριον ὑπὲρ γῆν ὦσι, ποῖον δὲ ὑπὸ γῆν, γράφομεν δὲ ἐπὶ τῶν ἡμικυκλίων τὰ γράμματα.

ΑΡΑΤΟΥ ΒΙΟΣ.



Ἄρατος πατρὸς μὲν Ἀθηνοδώρου, μητρὸς δὲ Λημνοδώρας, ἐκ Σόλων τ Κιλικίας. ὠνόμασται δὲ ἡ πόλις ἀπὸ Σόλωνος τ Λινδίου, ἔστι δὲ ἡ νῦν Πομπηϊόπολις. λῶν δὲ ὧδε Πτολεμαίου τ Φιλαδέλφου, ἐσχόλασε Διονυσίῳ τῷ ἡρακλεώτῃ. σωπῶν δὲ Ἀντιγόνῳ Μακεδόνων βασιλεῖ, καὶ Φίλᾳ τῇ τούτου γαμετῇ. συνήκμασε δὲ Ἀλεξάνδρῳ τῷ αὐτόλῳ, καὶ Καλλιμάχῳ, καὶ Μενάνδρῳ, καὶ Φιλητᾷ. ἀδελφοὺς δὲ εἶχε δύο, Μύρων, Καλῶνδαν, καὶ Ἀθηνόδωρον. ὃς πρῶτος αὐτεπῶν λέγεται Ζωΐλῳ, τῷ κατὰ τ ὁμηρικῆς ποιήσεως γράψαντι. σχολάσας δὲ ὁ Ἄρατος Περσίῳ τῷ φιλοσόφῳ ἀθήνησι, καὶ συνελθὼν

αὐτῷ εἰς Μακεδονίαν μετατεμφθέντι ὑπὸ Ἀντιγόνου, καὶ παρελθὼν εἰς τὸν Ἀντιγόνου καὶ Φίλας γάμον, καὶ διδοκιμήσας, τὸ λοιπὸν τοῦ χρόνου διέβιψεν ἐκεῖσε. ἐν δὲ ὁ Ἀντίγονος ὑὸς Δημητρίου τοῦ πολιορκητοῦ, καὶ παρέλαφε τὴν ἀρχὴν πόλεὶ ἑκατοστὴν καὶ πέμπτην ὀλυμπιάδα, καθ' ἣν Πτολεμαῖος ὁ Φιλάδελφος Αἰγύπτου ἐβασίλευσεν, ὥστε καὶ θρυλλούμενόν τινων ὑπὸ τινων. ὡς ἐν καὶ τὸν αὐτὸν χρόνον Νικάνδρῳ τῷ κολοφωνίῳ, τῷ τὰ θηριακὰ γράψαντι, λέγουσίν τε προτεῖναι ἀλλήλοις, ὁ μὲν Νικάνδρῳ σκέψασθαι τὰ φαινόμενα, ὁ δὲ Ἀράτῳ τὰ θηριακά. δῆλον καταφανῶς ὅτι ψεῦδος. ὁ γὰρ Νέκανδρος δώδεκα ὅλας ὀλυμπίας νεώτερος φαίνεται. ἔνιοι δὲ φασὶ τὸν Ἄρατον Μνασέου πατρὸς γεγονέναι, ἀειδοθήρα δέ τινος μαθηματικῶ διακοῦσαι. ἰατρὸν δὲ προκουμθνῶς ἐπὶ ποιητὴν γενέσθαι ἐν τοῖς Ἀντιγόνου βασιλείοις. γηραιὸν δὲ τοῦ Κυρηναίου ἐπεβάλετο, παρὰ δὲ καὶ ἐπιγράμματος ἠξιώθη. συνήκμασε δὲ Νικάνδρῳ μαθηματικῶ, καὶ αὐτῷ κολοφωνίῳ θεραπεύοντι ἅμα αὐτὸν. ζηλωτὴν δέ φασι τοῦτον γενέσθαι ὁ μήρου, οἱ δὲ Ἡσιόδου μᾶλλον.

ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΦΑΙΝΟΜΕΝΩΝ ΑΡΑΤΟΥ.

Πρῶτον μὲν ἀπαγγέλλει προοίμιον εἰς τὸν δία, δεύτερον δὲ διεξέρχεται τὴν τῶν φαινομένων ἀπλανῶν διακόσμησιν, εἰς βία μέρη διελὼν αὐτήν. ἐν μὲν τὸ ἐνὸς τῶν ἀρκτικῶν φαινομένου ἀεὶ ὑπὲρ γῆν, ἔπειτα τρεῖς δύο ἀνατέλλοντα καὶ δύνοντα. τὸ μὲν βόρειον τὸ μεταξὺ τῶν ἀρκτικῶν καὶ ζωδιακῶν, τὸ δὲ νότιον τὸ μεταξὺ ζωδιακοῦ καὶ ἀνταρκτικοῦ. ἀπαγγέλλει δὲ ἕκαστον καὶ μῆκος καὶ καὶ πλάτος. τὰ μὲν μήκη ἀπὸ ἀνατολῶν ἐπὶ δύσεις, διὰ τῶν προανατελλόντων, μέχρις ἂν ἐπανέλθῃ, τὰ δὲ πλάτη ἀπὸ τοῦ βορείου ἐπὶ τὸ νότιον. καὶ μῆκος οὖν τὸν βόρειον τόπον, ἀπὸ τοῦ γονύνασι καὶ ὀφιούχου εἰς τὸ πρόσθεν, ἀεὶ μέχρι τῶν αὐτῶν κύκλων ἀπαγγέλλει. τὸ δὲ νότιον ἀπὸ ὠρίωνος καὶ κυνὸς καὶ ἀργοῦς, ὁμοίως μέχρι τοῦ αὐτῶν. καὶ πλάτος δὲ, τὸν μὲν βόρειον ἀπ' ἀρκτικοῦ μέχρι ζωδιακοῦ. τὸν δὲ νότιον

νότον ἑξῆς ἀπὸ ζωδιακοῦ, μέχρι τοῦ ἀνταρκτικοῦ, σωτάσσων τὰ μὲν ἑξῆς καθ' ἑῶ. τὰ δὲ καὶ ἥλας καὶ συγγενείας τινὰς, δυλόγως παραλαμβάνων. σωτελέσας δὲ τὴν διάθεσιν τῶν ἀπλανῶν μετὰ ταῦτα περὶ τῶν ἐντὸς πλανήτων λέγει, καὶ ἑξῆς ἁρμόσας αὐτὸν κύκλῳ ἑκάστῳ ἀπαγγέλλει. ἀπανεύστῳ μὴ αὐτῶν πλανωμένων, καὶ οὐ θαρρεῖ λέγειν ὡς χαλεπὸν. δύχετο δὲ ἱκανὸς γενέσθαι τῶν ἀπλανῶν τάτε κύκλα, τάτε ἀθέσεα σήματα φωτεῖν. καὶ αὐτὸν ἀναγκαιοτάτους κύκλους τῶν ἀπλανῶν τέσσαρας λέγει. δύο μὲν τροπικὸς, ἕνα δὲ ἰσημερινόν. τέταρτον δὲ τὸν ζωδιακόν. παρέργον δὲ, καὶ ὡς φῶ παραδείγματος μέρει, αὐτὸν τὸν γαλαξίαν παραβέβληται. μετὰ ταῦτα δὲ ἀνατολὰς ἑκάστῳ, καὶ δύσεις ἀπαγγέλλει, χρώμενος τρόπῳ δι' οὗ ἔκασα τῶν φῶ τῷ ζωδιακῷ καταλέγει, σωματέλλοντά τε καὶ ἀντιδύνοντα, ἀρξάμενος ἀπὸ ἑσπερινῆς ἀνατολῆς καρκίνου. καὶ δύο δὲ τρόπους ταῦτα διεξέρχεται, ὅτε μὲν πρότερα τὰ σωματέλλοντα, καὶ δεύτερα τὰ ἀντιδύνοντα. ὅτε δὲ τἀνατίον. πρότερα μὲν τὰ ἀντιδύνοντα, ὕστερα δὲ τὰ σωματέλλοντα, καὶ τάτῳ μᾶλλον τρόπῳ πλεονάζει, ὅπερ τῷ πρότερῳ. μετὰ ταῦτα δὲ καὶ περὶ διοσημείων διεξέρχεται, καὶ πρῶτον μὲν προοίμιον αὐτοῖς ἀπαγγέλλει, μετὰ ταῦτα δὲ σημεῖα λέγει χειμῶνος καὶ δυδίας. πρῶτον μὲν ὅσα σελήνη παρέχει, δεύτερον δὲ, ὅσα ἥλιος, τρίτον δὲ, ὅσα ἡ καλουμένη φάτνη. μετὰ ταῦτα ἀπαγγέλλει σημεῖα σύμμικτα χειμῶνος καὶ δυδίας, καὶ βρεμμάτων, καὶ ἀρότων, ὅσα δ' ἥλοῖ τάτε μετέωρα, καὶ τὰ ἐπίγεια, φυτά τε καὶ ζῶα, καὶ ὅσα τούτοις παραπλήσια. τὰ μὲν σεμνότερα, τὰ δὲ φαυλότερα. κοσμεῖ δὲ τὰ φαυλότερα σεμνότητι, διχῶς ποτε μὲν ἀναμίσγων τὰ σεμνότερα. ποτὲ δὲ ἀπολογούμενος, καὶ τὴν χρείαν αὐτῶν ἐν λέγει ἀναγκαίαν. καλῶς δὲ ὠνόμασται τὰ φαινόμενα. πρῶτον μὲν, ὅτι τὰ φῶ τῷ ἀρκτικῷ, ὃ λέγει τὰ ἀφανῆ τῶ ἀρανῶ (ὃ γὰρ ἴσμεν) ἀλλὰ μόνον λέγει τὰ φῶ τοῖς φανεροῖς, τὰ μεταξὺ τῶ τε ἀρκτικῶ, καὶ τῶ βορείῳ πόλῳ. δεύτερον δὲ, ὅτι περὶ μεγεθῶν, καὶ διασημάτων ὃ διαλέγεται. τρίτον, ὅτι περὶ τῶν ὑποθεόντων πλανωμένων, καὶ τῶ ἀκριβῶν κύκλων ὃ πεποιεργάζεται, κατάπερ ἄλλοι, πράγματα ἀσαφῆ καὶ σοχαστικὰ, καὶ ἄδηλα καὶ τὸ πλεῖστον λέγοντες, ἀλλὰ

παραιτεῖτ οὕτωσί λέγων, οὐκέτι θαρσαλέως κείνω ἐγώ. ἐν τούτοις γὰρ τὰ μὲν τ πλανωμένων, φησί λέγειν μὴ θαῤῥεῖν. τὰ δ τῶν ἀπλανῶν, δύνηται ἱκανός γενέσθαι εἰπεῖν. πῶς τούτοις δὲ, ὅτι καὶ τὰ τ ἄλλων, καὶ τῶν ἐν τέλει καταλεχθέντων συμείων, τὰ μὴ φαινόμενα λέγει. τὰς δὲ αἰτίας ἑκάστων ἀφανεῖς οὔσας, παρίησι, καὶ σοχασμοὺς ἀσήλους οὐ διεξέρχεται, καθάπερ οἱ φιλόσοφοι.

ΠΩΣ ΔΕΙ ΙΣΤΑΝ ΣΦΑΙΡΑΝ.

Βουλόμενος ὁμοίως τοῖς κόσμῳ θεῖναι τὴν σφαῖραν, τὸν πόλον τ σφαίρας πῶς βορέαν βρεπέτω. ὁ βουλόμενος τὴν φορὰν ποιεῖν τοῦ οὐρανοῦ, ὑπὸ τῇ δεξιᾷ τὸν πόλον ἔχων, στρεφέτω ἀφ ἑαυτοῦ εἰς τὸ ἐναντίον τὴν σφαῖραν. ὁ δέλων ποιεῖν ἀνάπλασιν, στρεφέτω αὐτὸν εἰς τοὐναντίον. οἱ μὲν ὀυθεῖς προγράφουσι τοῦ ποιήματος τὰ φαινόμενα, οἱ δ ἀκριβεῖς τὴν διάθεσιν καὶ κίνησιν τῆς σφαίρας. ἡ μὲν γὰρ διάθεσις, διασαφεῖ τὸ ποίημα. τὸ δ ποίημα, δηλοῖ τὰ φαινόμενα, ἀλλὰ καὶ ἡ κίνησις καὶ ἡ θέσις τ σφαίρας, τὰς ἀρχὰς καὶ ἀναφορὰς ὅλων τ φαινομένων περιέχουσι, καὶ πᾶσαν ἑξῆς τὴν θεωρίαν σαφῆ, καὶ ἑτοίμην παρέχουσι πάντως καὶ σωκεπομένην. ὁ μικρὸν μὲν ἐν εἶδος γραφέων βλάπτει τ βιβλιογράφων, ἄρατον δ δύο, βιβλιογράφων τε καὶ ζωγράφων. ὧν τὰ ἁμαρτήματα, τῶν Ἀράτου θεωρημάτων ἐγκλήματα ποιοῦσιν οἱ κουφότεροι, διὰ τὴν ἄγνοιαν τ παντὸς λόγου, καὶ τῆς ἀληθείας περὶ σφαίρας. Σφαῖρα δὲ σχῆμα στερεόν, ὑπὸ μιᾶς ἐπιφανείας περιεχόμενον, πῶς ἂν ἀφ ἑνὸς σημείου τῶν ἐντὸς τῆς σφαίρας κειμένων, πᾶσαι αἱ προσπίπτουσαι ὀυθεῖαι, πῶς τὴν αὐτῆς περιφέρειαν, ἀλλήλαις εἰσὶν ἴσαι. τὸ δ σημεῖον τοῦτο κέντρον καλεῖται, ὅ δὲ ἡ γῆ. Κύκλοι παράλληλοι πέντε, ἀρκτῷος, ὁ τῆς βόρειος καὶ ἀειφανής. θερινὸς τροπικός, ὅτε ὁ ἥλιος καρκίνῳ. ἰσημερινός, ὅτε ὁ ἥλιος κριῷ. χειμερινὸς τροπικός, ὅτε ὁ ἥλιος αἰγοκέρωτι. αὐταρκτικὸς ὁ καὶ νότιος, ἔνθα ἡ καλουμένη ζώνη. κύκλοι λοξοί, ὁ ζωδιακός, καὶ ὁ γαλαξίας. τὰ πέρατα τ ἄξονος ἑκατέρωθεν, πόλοι καλοῦνται. ὁρί-

ται. δείξων ὁ τέμνων τό, τε ὑπὲρ γῆν ἡμισφαίριον, καὶ τὸ ὑπὸ γῆν, κατὰ ἄξων λέγει, ἐπεὶ πόδι αὐτὸν ὁ οὐρανὸς ἄγεται. πόλοι δέ, ἐπεὶ πόδι αὐτοὺς ὁ οὐρανὸς πολεῖται καὶ στρέφεται. τὸν τὸν ἄξονα φασὶν εἶναι, τὸν παρὰ τοῦ ποιητοῦ ἄτλαντα καλούμενον. οὐρανὸς δέ ἐστι ὁ πόδι ἐχων τὰ πάντα, πολλὰ αὐτοῦ. σφαίριόν ἐστιν ὑπὲρ γῆν, τὸ ἕτερον ὑπὸ γῆν, διὰ πάσης δὲ ὥρας στρέφεται καὶ κινεῖται. τοσοῦτον ἢ τὸ ὑπὲρ γῆν μέρος τοῦ οὐρανοῦ ἀπέχει τῆς γῆς, ὅσον καὶ ἡ γῆ πρὸς τὸ ἕτερον μέρος, ἤγουν τὸν τάρταρον. εἶτε ἐκ τοῦ μέρους ἐκείνου τοῦ ταρτάρου τοῦ ὑπὸ τὴν γῆν, ἄλλο μέρος τοῦ οὐρανοῦ πάλιν ὁμοίως διέκεκεν. ὁ γὰρ Ἡσίοδος φυσικευόμενος φησιν. ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων, οὐρανόθεν κατιών, δεκάτῃ δ' ἐς γαῖαν ἵκοιτο, εἶτα πρὸς τὸ ἴσον βάθος τῆς γῆς. ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων γαίηθεν κατιών, δεκάτῃ ἐς τάρταρον ἵκοιτο. λοιπὸν τοίνυν καὶ τὸ ἀπὸ ταρτάρου, ἕως τοῦ ὑπὸ γῆν ἡμισφαιρίου διατεῖνον μέγεθος τοσοῦτόν ἐστιν, ὅσον τὸ ἀπὸ γῆς βάθος, ὥστε διὰ τριάκοντα ἡμερῶν, τὰς δύο ἀρχὰς τοῦ ἄξονος δυνάσθαι διανύσαι τὸν ἄκμονα. στρέφεται ἢ καὶ καταφέρεται ὡὶ δυσμὰς ὁ οὐρανὸς ἀπὸ ἀνατολῶν.

ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΣΦΑΙΡΑΣ.

Διαιρεῖται ἡ σφαῖρα, εἴς τε τὰ νότια καὶ βόρεια, καὶ τὸ βοέων βορεότερα. ἀπ' ὧν καὶ τοῦ ἀρχοῦ ποιεῖται, ἡ κατὰ δὸ ὑψηλὰ ὄντα φανερά εἰσιν, ἢ διὰ τὴν κατ' ἡμᾶς οἰκουμένην, ἢ πρὸς τιμὴν τοῦ δίος ἐκεῖθεν ἤρξατο. ὁ γὰρ ἀρκτικὸς κύκλος πόδι ἐχει τὰς ἄρκτους, καὶ τὸν δράκοντα, πόδι ὧν φέρεται ἱστορία ἥδε. τὸν δία φύ Κρήτῃ τεχθέντα, δύο νύμφαι ἐκεῖσε ἀνέτρεφον. καὶ ἡ μὲν, ἡλίκη ὠνομάζετο, ἡ δὲ κυνόσουρα. Κρόνου δὲ ἐπελθόντος ποτὲ, ὁ Ζεὺς τὸ ἑαυτοῦ πάτερα παραλογισάμενος, τὰς μὲν νύμφας μετέβαλεν εἰς ἄρκτους, αὐτὸς δὲ εἰς δράκοντα μεταβέβλητο. εἶτα τοῦ Βασιλείας ἀντιλαβόμενος, χῆμα ἀνεσήριξε, φημὶ δὴ τὰς νύμφας καὶ ἑαυτόν. ζητεῖται δὲ πότερον ὁ Ζεὺς σῶμα ἢ πρᾶγμα ὄν, καὶ πότερον ψυχὴ ἢ νοῦς, ἢ κρείττων τις δύναμις καὶ ὑπερβάλλων καὶ ἀκίνητος καθ' ἑαυτόν.

ὁ γὰρ

ὁ γὰρ τοῖ Ἄρατος ἡ τῶν κοινῶν δόξαν εἴρηκε τοῦ διὸς τὄνομα, ὡς ἂν τοῦ ὄντων βάσιν. διὸ δὲ θάτερον, ἢ ὅτι δι' ὅλου τοῦ κόσμου ἡ πρόνοια χωρεῖ τοῦ θείου, καὶ αὐτὸς δὲ πάντων ἔρχεται τοῦ κόσμου συνέχων αὐτόν, ἢ ἡ μὲν τὰς ἐπωνυμίας ἀνιεῖσα αὐτοῦ, ἃς ἐφ' ἑκάστῃ πράξει εἰς θεὸν ἀναφέροντες οἱ ἀρχαῖοι, τὰ καλῶς γινόμενα ὡς εἰσι, φάσι. γενέτωρ, φράτριος, ὁμόγνιος, ἑταιρεῖος, φίλιος, ἱκέσιος, ξένιος, ἀγοραῖος. βουλαῖος, βροντᾶιος, καὶ τὰ ὅμοια.

ΑΡΑΤΟΥ ΣΟΛΕΩΣ

ΦΑΙΝΟΜΕΝΑ.

Ἐκ Διὸς ἀρχώμεθα, τὸν οὐδέποτ' ἄνδρες ἐάσομεν
Ἄῤῥητον. μεσαὶ δ' Διὸς πᾶσαι μ' ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί. μεστὴ δ' θάλασσα,
καὶ λιμένες. πάντῃ δὲ Διὸς κεχρήμεθα πάντες.
τοῦ γὰρ καὶ γένος ἐσμέν. ὁ δ' ἤπιος ἀνθρώποισι

Ἐκ Διός.) πάνυ πρεπόντως ὁ Ἄρατος τὸν τῶν ἄστρων διεξιέναι μέλλων θεσιν, τὸν πατέρα τούτων καὶ δημιουργὸν, διὰ ἐνηρῴοις προσφωνεῖ. διὰ δὲ νῦν τὸν δημιουργὸν ἀκουστέον. τὸ δὲ ἐκ Διός, ἀντὶ τοῦ ἀπὸ τοῦ Διός. Πίνδαρος, Διὸς ἐκ προοιμίου. τὸ δὲ ἀρχώμεθα, μετὰ τοῦ σ. οὕτως δὲ ἀρχαϊσμός. Ὅμηρος, δόρπον ἑφοπλισόμεθα. καὶ ἄλλως οἰκότως τοῦ τὸν φανομένων ἀρχὴν, ἀπὸ τοῦ Διός τι καὶ θεῶν ποιεῖται. ἔθος γὰρ διὰ τοῦτο τοῖς ἀρχαίοις φιλοσόφοις οὖσιν, ἐπιεικῶς ἅπασιν ἀπὸ θεῶν ἄρχεσθαι, ὡς καὶ πάντων ἀνθρώποις τὸν λαλῶν αἴτιον. Ὅμηρος μὴ, μῆνιν ἄειδε θεὰ, καὶ ἄνδρα μοι ἔννεπε μοῦσα. καὶ Πλάτων δὲ ἐν νόμοις, θεὸς ἢ τίς ἡμῖν ὦ ξένε, τοῦ ἀρχοῦ ἄνωθεν τῆς τοῦ νόμου διαθέσεως. θεὸς ὦ ξένε θεός. καὶ ἔτι ἀπὸ Διὸς ἄρξασθαι, ἐπειδὴ μέλλει μετεωρολογεῖν. βασιλεὺς δὲ τῶν ὅλων καὶ πατὴρ ὁ Ζεὺς, ὁ προσήκει τὰ νῦν τοῦ οὐσίαν αὐτεῖσθαι τοῦ Διός.

Τὸν οὐδέποτε ἄνδρες.) μεταβὴ ἐπὶ τὴν κατ' ἐπωνυμίαν διὰ τὸν φυσικὸν, ὅς ἐστιν ἀήρ. καὶ γὰρ τὸν ἀέρα, διὰ λέγουσιν. ἔθος γάρ ἐστι κατὰ τὸν ποιητὴν, ὁ διὰ πάντων διήκων. ἔνιοι γοῦν φασι τὴν πρωτίστην οὐσίαν εἶναι τὸν ἀέρα. ἀνθεῖται γὰρ καὶ Ὁμηρος λέγων, γίγνετο δ' ὑγρὸν ὕδωρ, καὶ δίνδρεον ὑψιπέτηλον. καὶ πῦρ. οὗτος γάρ ἐστι πηγὴ πάντων, καὶ ἐξ αὐτοῦ. ὁ δὲ λόγος, ὄντινα τὸν διὰ οὐδέποτε ἄῤῥητον, καὶ ἀπροσηγόρευτον ἐῶμεν οἱ ἄνθρωποι, ἀκότως. οἱ γὰρ σοφοὶ ὑποτίθενται. μᾶλλον δὲ πάντες οἱ ὅρον φωνῆς γράψαντες, πεπληγμένον τινὸς ἀέρα λαλεῖν. εἰδέποτε γὰρ ἀνὸν ἄῤῥητον ἐῶμεν, ἀεὶ δι' ἀντὶ τὰς ῥήσεις ποιούμενοι. εἰδὲ γάρ ἐστιν ὁ μὴ πεπλήρωται ἀέρος. Ἡσίοδος, πάντα ἰδὼν διὸς ὀφθαλμὸς, τοῦ ἀέρα οὕτω λαλῶν. Μεταὶ δέ.) τοῦτο ἐνδεικτικόν ἐστι τῆς προνοίας, δι' ἣν ἡ ζωή τε ἡμῖν καὶ ἡ αὐξία ἁπαντᾶ. τοιοῦτοι γὰρ τὰ δύο ὀνόματα συντιθέντα, δηλοῖ τό, τε τοῦ Διός, καὶ τὸ τοῦ ζηνός. Τοῦ γὰρ καὶ γένος ἐσμέν.) πῶς τὸ πατὴρ ἀνδρῶν τε θεῶν τε. ἐ γὰρ αὐτοὺς ταῦτα ἐδημιούργησε πῶς τὸ τοῖς ἀνθρώποις διαφορὰς, αὐτοῦ ἀρχὴν κατὰ θάυμα, αὐτὸν πατέρα καὶ δημιουργὸν ἐπεγραφόμενοι. δύνανται δὲ καὶ ἐπὶ τοῦ ἀέρος. αὐτὸν γὰρ ἐπισπάμενοι, ὡς ἐξ αὐτοῦ ζῶμεν, ὄντος ζωτικοῦ, καὶ τῆς πνοῆς ἡμῶν αἴτιον. Οὐδ' ἤπιος.) ἄγαν ἁρμοδίως τὸ ἐπιθέτον τῷ πατρὶ, τὸ ἤπιος ἀπέδωκεν.

Δεξιὰ σημαίνει. λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
Μιμνήσκων βιότοιο. λέγει δ' ὅτε βῶλος ἀρίστη
Βουσίτε καὶ μαπέλησι. λέγει δ' ὅτε δεξιὰ ὥραι,
Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθη.
Αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐσήριξεν,
Ἄστρα διακρίνας. ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
Ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
Ἀνδράσιν ὥραων, ὄφρ' ἔμπεδα πάντα φύωνται.
Τῷ μὲν ἀεὶ πρῶτόντε καὶ ὕστατον ἱλάσκονται.

Δεξιὰ σημαίνει.) τὰ ἄστρα λέγει, καὶ τὰ πρὸς τὸν βίον συμφέροντα. ὅτω καὶ δεξιὸς οἰωνοὺς, λέγομεν τοὺς αἰσίους. ἔργον δὲ λέγει, κατ' ἐξοχὴν τὸ κατὰ γεωργίαν.

Βῶλος ἀρίστη.) βῶλος, σὺν ἀροτῇ ὡς Ασκληπιάδης. οὐ γὰρ δύναται μακέλλας ἀρῶσθαι βῶλος, ἀπὸ σκάπτεσθαι. μάκελλα δὲ, ἡ μονόδους λέπουσα ἤγουν τέμνουσα. δίκελλα δὲ, ἡ διχόδους. τὸ δ' γυρῶσαι, φυτεῦσαι ἢ βόθρον ὀρύξαι, ἐν ᾧ τὰ φυτὰ κατατίθεται, ἢ καλῶς περισκάψαι, ἤγουν τὰ φυτὰ περιλαβεῖν λύκλῳ τῇ γῇ, περὶ τὴν ἐπιφανείαν πρὸς τὸ μὴ ψύχεσθαι. ἡ γὰρ θερμασία συμβάλλεται αὐτοῖς. ἢ γυρῶσαι τουτέστι λύκλῳ φυτῶν γῆν σωρεῦσαι. ὁ τοίνυν ζεὺς συμαίνει τὰς ὥρας τῆς γεωργίας καὶ ἢ σπόρου. τὸ γὰρ λέγει, ἀντὶ τοῦ συμαίνει, ὡς τὸ, ἑωνὶ φόως ἐρίουσα, καὶ ἄλλοις ἀθανάτοισιν. Αὐτὸς γὰρ τάγε.) αὐτὸς γὰρ φῶρων σημεῖα ἐποιήσατο τὸς ἀστέρας. ἔθέλε δὲ τὰς ἀνατολὰς αὐτῶν, καὶ τὰς δύσεις δηλῶσαι, οἷον πλειάδων ἐκαν, ἐπιτολὴν, ἀρχὴ θέρους γίνεσθη. δύσιν δ', ἀρχὴ χειμῶνος. καλῶς δ' οἱ γράφοντες σήματα, τὴν τελευταίαν ὀξύνουσιν, ἵν' ᾖ τὰ δηλούμενα. δέλε γὰρ τὸς ἀστέρας σημεῖα λέγεν τῶν καιρῶν, καλῶς δὲ τὸς ἀστέρας σημεῖα εἶπε. καὶ γὰρ ὁ ποιητὴς, τὸν κομήτην ἀστέρα, σημεῖον ἐν πολέμου λέγει, ἢ ναύτῃσι τέρας. τὸ δ' ἐσκέψατο. ἀντὶ τοῦ ἐφρόντισεν, ὥστε ἑκάστου μέρους ἐνιαυτοῦ σημεῖον εἶναι, οἷον πλειάδας ἀρότου καὶ ἀμήτου, λύνα δὲ θέρους. τὸ δ' ἑξῆς, αὐτὸς γὰρ τάγε σήματα, ἤγουν τὰ ἄστρα σημεῖα ἐσήριξεν. ἐσκέψατο δὲ, ἀντὶ τοῦ ἐθώρασεν, ἐτήρησεν, ἐνόησεν, ἔγνω ποιῆσαι, ὁ τὰ πάντα δημιουργήσας θεός. ἡ δὲ διάνοια τοιαύτη ἐστί. παρορμᾷ ὁ ζεὺς τοὺς ὄχλους πρὸς ἀντίληψιν τῶν εἰς τὸν βίον ἐπιτηδείων, σημαίνων τοὺς οἰκείους χρόνους ἐκ τῶν ἐτησίων ὡρῶν, ἔαρος, θέρους, φθινοπώρου, καὶ χειμῶνος. τὸ δὲ ἐσήριξεν φησίν, ἐπειδὴ ἀκίνητοί εἰσιν οἱ ἀπλανεῖς ἐκεῖ αὐτοὺς. συμπεριάγονται δὲ τῇ τῶν ὅλων ῥύμῃ. ἴσον δὲ ὅτι ἀστὴρ μὲν ὄντ γὰρ καὶ μόνον ὄντ, καὶ οὐ κατ' αὐτὸν κινεῖται, οἷον κρόνος, ζεὺς, καὶ τὰ τοιοῦτα. ἄστρον δὲ, τό, τε κινούμενον, καὶ τὸ ἐκ πλείων ἀστέρων σύστημα, οἷον καρκῖνος, λέων. καὶ ἐπιτολὴ δὲ τινος ἀστέρος, νυκτερεύσασάτι ἢ πρωιαίων. Ἄστρον λέγεται, οἷον ἀρκτούρου ἐπιτολὴ. λέγεται δὲ καὶ ὁ ἥλιος ἄστρον ἰδίως. πάρα δὲ Πινδάρῳ, ἄστρον ὑπέρτατον. νυῦ δὲ ὁ Αρατος, τοὺς ἀστέρας ἄστρα εἴρηκεν.

Τῷ μὲν ἀεὶ.) καὶ Πλάτων ἐν νόμοις, ὁ μὴ θεὸς ὁ ἀρχήν τι καὶ τελευτὴν καὶ μέσα ἔχων, ἐνθέα πορεύεται κατὰ φύσιν πορευόμενος. ζεὺς δ' ἀεὶ τ σπουδῶν, τῷ τέλει μὴ πράττει

τλῶ σπονδὴν ἔναι θεῶν τ ὀλυμπίων, διατέραν δὲ ἡρώων, καὶ τρίτλω διὸς σωτῆρος. Ὁμηρος δὲ ἐπὶ τοῦ βασιλέως, ἔν σοι μὴ λήξω, σὺ δ' ἄρξομαι. πρῶτον δὴ καὶ ὕστατον. ἀντὶ τοῦ διὰ παντὸς χρόνου, κατ' ἐκάστην ὥραν.

Χαῖρε πάτερ μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ,
Αὐτὸς καὶ πρότερη γενεή. χαίροιτε δὲ μοῦσαι,
Μειλίχιαι μάλα πᾶσαι. ἐμοί γε μὲν ἀστέρας ἐπεῖν,
Εἰ θέμις εὐχομένῳ, τεκμήρατε πᾶσαν ἀιοδήν.
Οἱ μὲν ὁμῶς πολέες τε, καὶ ἄλλυδις ἄλλοι ἐόντες,

Χαῖρε πάτερ.) τὸ αὐτός τε καὶ πρότερη γενεὴ, ἀμφότερα ἐπὶ τοῦ διός. ὥσανεὶ ἔλεγεν, χαῖρε, ἐπεὶ αὐτὸς εἶ καὶ ἡ πρότερα γενεαί. οἱ δὲ πρότεραν γενεὰν τοὺς τιτᾶνας φασίν, οὓς καλεῖσθαι τὰ νῦν ὀδίνα λόγον ἔχει, ἥδη κατα ταραχθέντας ὑπὸ τοῦ διός. πρότερον γὰρ γεγόνασι κατ' Ἡσίοδον, ἢ τοὺς ἀδελφοὺς νοητέον τοῦ διός. ἢ πρότεραν γὰρ ἑαυτοῦ φησὶν ὁ ποιητὴς γενεὰν τοὺς πρώτους, καὶ τοῦ αὐτοῦ ἀσφρόνομους. βέλτιον δὲ τοὺς ἥρωας νοεῖσθαι, ὧν καὶ τὰ ποιὰ τῶν ἄστρων ἐπώνυμα, πυρσοὺς, ὠρίων. Μειλίχιαι.) μειλιχίας τὰς μούσας λέγει, ὅτι πᾶς πάντας καὶ καθόλου ἀμνεῖς εἰσι. τὸ δὲ τεκμήρατε, ἀντὶ τοῦ πιστώσασθε, ἀφ' τοῦ τεκμηρίου, ἢ ἐς τέλος ἀγάγεται. τέκμωρ γὰρ τὸ τέλος, καὶ τέκμαρ. ἄλλοι δὲ, δείξατε.

Οἱ μὲν ὁμῶς.) λέγει ὅτι οἱ ἀπλανεῖς ὁμοίως εἴκονται, οὐ μὴν καὶ κινοῦνται. σηείρονται γὰρ καὶ ἀναπολίζουσιν. οὐρανῷ δὲ εἴκονται, ἀντὶ τοῦ σὺν τῷ οὐρανῷ φέρονται. οἱ γὰρ ἀπλανεῖς πάντες, ὡς πᾶς ἄν θησιν ἐπὶ μιᾶς ὑποκάμψοι ἐπιφανείας, ὁμοίως συμπεριάγονται παντὶ μέρει τοῦ οὐρανοῦ ὁμοιοταχῶς, οὐ μὴν ἰσοταχῶς. ὁμοιοταχεῖς μὲν γὰρ ἄσιν ἀστέρες, οἱ τὰς ὁμοίας περιφερείας ἐν ἴσῳ ἔχοντες χρόνῳ, καὶ διανύοντες. ἰσοταχεῖς δὲ, οἱ τὰς ἴσας περιφερείας ἐν ἴσῳ χρόνῳ ἔχοντες, καὶ κινούμενοι. ὁμοιοταχῶς γὰρ κινεῖται οἱ ἐπὶ τοῦ ἰσημερινοῦ, τοῖς ἐπὶ τοῦ πόλου κειμένοις, οὐ μὴν καὶ ἰσοταχῶς. τὸ μὴ οὖν ὁμῶς περιεσπάσιον, ἵν' ᾖ, ἀντὶ τοῦ ὁμοίως. παροξυνόμενον μὲν γὰρ, ἵναν γραμματικός ἐστι σολοικισμός. περισπώμενον δὴ, ἐπίρρημα ἐστι μεσότητος, ἀφ' ἑκάστου κατὰ συγκοπὴν γινόμενον. καὶ δὲ τοιαύτη συγκοπὴ, διορίζων ἐστίν. ἐκεῖνοι γὰρ τοὺς ὁμότριχας, ὅτριχας φασι. καὶ τοὺς ὁμοιοτᾶς, ὁιοτᾶς. καὶ τοὺς μονόνυχας, μόνυχας. καὶ τὸ τρίμετρον, τρῖμ. τὸ δὲ πολέοι, ἀφ' τοῦ πολὺς εὐθείας. διὸ γάρ εἰσι τριγένεις, ταὐτὸ σημαίνοντα. ὁ πολὸς, καὶ πολὺ, τὸ πολόν. καὶ ὁ πολὺς, καὶ πολεῖα, τὸ πολύ. τοῦ μὲν οὖν πρώτου, ποιηταῖς μὴ πᾶσα καὶ καθίσις ἄχρηστος, κατὰ τοῖς τρισὶ γένεσι. λογογράφοις δὴ, πλὴν τῆς ἀρσενικῆς εὐθείας αἰτιατικῆς καὶ κλητικῆς. ὡσαύτως δὴ καὶ δείγε. ὅτι γὰρ ὁ πολὸς φαμὲν, οὔτε τὸ πολόν. τοῦ δὲ δευτέρου, ποιηταῖς μὴ, τοῦ θηλυκοῦ ὄντος πάντη ἀχρήστου, καὶ τοῦ ἀρσενικοῦ καὶ οὐδετέρου καθίσεις, πᾶσα ἄδειν ἄχρηστος. λογογράφοις δὲ καὶ αὐτοῖς, τοῦ θηλυκοῦ ὄντος πάντη ἀχρήστου. οὐ δὴ γὰρ εὕρηται ὅλως καὶ πολεία, τοῦ ἀρσενικοῦ καὶ οὐδετέρου εὐθεῖαι μόναι, καὶ αἰτιατικαὶ καὶ κλητικαί εἰσιν ἄχρηστοι, λαμβανόμεναι ἀντὶ τοῦ ὁμοίων ἀχρήστων πλάσεων τοῦ πρώτου. τοῦ δὴ οὖν πολὸς, καὶ τῶν συνοίκων αὐτῷ, ἀεὶ δυσὶ γραφομένων, τὸ πολὺς καὶ τὰ τούτῳ σύ

εοικα δι ἑνὸς γραφεται. τὸ δὲ ἄμυδις, ἐπίρρημα τοπικὸν ὂν, ἀφ᾽ τοῦ ἄμυ ἐπιρρήματος γίνεται, ὥσπερ καὶ τὸ ἄμυδις ἀφ᾽ τοῦ ἅμα. καὶ δὶ σημειωτέον ὅπως τὸ ἅμα δασυνομένου, τὸ ἄμυδις ψιλεται. τὸ δὲ καὶ ἐπ᾽ ἄπειρον ποικῶν ἴδοι τις ἂν τὸ πρωτοτύπων, δικαιδὴ δασυνομένων, ψιλουμένων δὲ τῶν δὲ ἐκείνων παραγομένων. αὐτίκα τὸ ὄλυμπος ἀφ᾽ τὸ ὅλος δασυνομένου παραγόμενον, ἐσανεὶ ὁλόλαμπος, ψιλοῦται. καὶ τὸ ἕδος ἀφ᾽ τοῦ ἑδονὴ. καὶ τὸ ἦμαρ ἀφ᾽ τοῦ ἡμέρα. τὸ μὴν οὖν ἄμυδις, καὶ ὄλυμπος μετέβαλε τὸ πνεῦμα, δασὺ τὸ, τὸ μετὰ τὸ πρῶτον σύμφωνον φωνῆεν μεταβληθῆναι εἰς υ. τὸ δὲ ἦμαρ καὶ ἕδος, δασὺ τὸ γενέσθαι προχαῖκά. τὸ δὲ ἰόντες, ποικοὶ τὸ γραμματικῶν ἰόντος τις ἔγραψαν, καὶ φασὶ πάντας τοὺς ἀστέρας πορεύεσθαι. Αράτῳ δὲ, περὶ τὸ φαινομένων καὶ ἀπλανῶν ἀστέρων δεῖν ὁ λόγος, οὐ τῶν πλανήτων, οἳ δὶ ἀπλανεῖς, ἀεὶ ἐπὶ τοῦ αὐτοῦ ἑστήκασι. καὶ μόνον συνκαταφέρονται καὶ ἀναφέρονται τῷ οὐρανῷ, καὶ ἀπὸ τοῦ οὐρανοῦ κινοῦνται καὶ φέρονται πᾶσαν ἡμέραν. καὶ ἐπεδὶ τοῦ τοῦ κόσμου ἤρκε, προσέθηκε κατὰ πᾶσαν ὥραν καὶ ἡμέραν. μάλιστα δὲ προσέθηκε τὸ ἀεὶ, ἐπεδὶ ἀδιαλείπτως ὁ οὐρανὸς κινεῖται, κατὰ φασιν οἱ ποιητοὶ καὶ οἱ φυσικοὶ, μηδὲν εἶναι εἰς κίνησιν οὐρανοῦ ὀξύτερον. σκόπησον γὰρ πῶς ἀφ᾽ τὸ πρώτου μέρους τοῦ ἀνατολικοῦ, ἐν ιβ ὥραις εἰς τὸ ἀπολυτικὸν ἔρχεται μέρας. τὸ οὖν ἤματα, ἀντὶ τοῦ νυχθήμερον ἀκουστέον.

Οὐρανῷ ἕλκονται πάντ᾽ ἤματα συνεχὲς αἰεί.
Αὐτὰρ ὅ γ᾽ οὐδ᾽ ὀλίγον μετανίστεται, ἀλλὰ μάλ᾽ αὔτως
Ἄξων αἰὲν ἄρηρεν. ἔχει δ᾽ ἀτάλαντον ἁπάντῃ
Μεσκηγὺς γαῖαν. πόδι δ᾽ οὐρανὸς αὐτὸν ἀγινεῖ.

Συνεχὲς αἰεί.) ἀντὶ τοῦ ἀδιαλείπτως, ἀεὶ ἄρηται. διαφέρει δὲ τὸ συνεχὲς τοῦ συνεχοῦς, καίτοιγε ἀπ᾽ αὐτοῦ ὡς ἔοικε παραγόμενον, μετατιθέντος τοῦ ν. τὸ μὲν γὰρ συνεχὲς, τὸ ἀδιαλείπτως ποιοῦντι σημαίνει. τὸ δὲ συνεχὸν, τὸ ποικίλως μὲν, οὐ μὴν δὲ καὶ ἀδιαλείπτως. διὸ καὶ οὐ καλῶς ἔφασις λέγειν, συνεχῶς γράφω πῶς σὶ, ἀλλὰ συνεχῶς, ἢ πυκνῶς, ἢ βαμά. ἴσιον δὲ ὅτι ἡ καὶ ἡ σῶ πρόθεσις βραχυκαταληκτεῖ, ὥσπερ καὶ αἱ λοιπαὶ προθέσεις, πλὴν τῆς εἰς καὶ δὲ, ὅμως ἐνταῦθα ἀντὶ μακροῦ λαμβάνεται. εὕρηται δὲ καὶ ἐν ἄλλοις τὸ τοιοῦτο. Μετανίσταται.) μετασρέφεται. νίσομαι γὰρ, τὸ σρέφομαι. ἔοικε δὲ ἀφ᾽ τοῦ νίομαι. ποιητικῶς τὸ πορεύομαι, οὗ ὁ μέλλων νίσομαι παράγεσθαι, δι πλαθέντος τοῦ α, ἵν᾽ ἐνεσῶς. οὐδέποτε γὰρ ἐνεσὼς ἐν σ ἔχει, τοῦ μέλλοντος γὰρ τοῦ το. καὶ ἐπεδὴ πᾶν τῶν δύο σ ὅτι ἡ δίφθογγος ἐνρίσκεται, ὅτε ἡ (ἡ μὲν τὸ ἐρεῖσαι καὶ τὸ ἔσου, καὶ ὅσα ἀφ᾽ τούτων) δὲ τοῦ τὸ μεταβίβληται τὸ ηει, ὥσπερ καὶ ἀφ᾽ τοῦ ἑλῶ ἑλάσω, ἐλάσω τὸ συσρέφω. ἴσον δὲ ὅτι ἡ τοῦ οὐρανοῦ κίνησις, γίνεται ἐκ τινῶν ἀναθυμιάσεων κατὰ τοὺς φυσικοὺς, αἵτινες ἀναθυμιάσεις ῥυθμῷ τινι ἀντὶ κινοῦσιν. οἱ δὲ οὖν ἀστέρες πολλοὶ ὄντες, κατ᾽ ἄλλους ἄλλοι τόπους κατεσηεγμένοι, συμπεριφέρονται τῷ οὐρανῷ κατ᾽ ἐκείνην. ὁ δὲ νεόμενος ἄξων, οὐ δὲ κατ᾽ ὀλίγον κινεῖται. μένει δὲ ἀσάλευτος, ἔχων τὴν γῆν μέσην, καὶ ἰσόρροπον. πρὸς δὲ τὸν ἄξονα ἀπὸ τῆς ἑαυτοῦ δίνης, κινεῖται ὁ οὐρανὸς ἀκίνητος κινήσει. οὐρανὸς δὲ οὖν ἐστιν ὁ περιέχων τὰ ἄλλα πάντα σωματικὰ, πλὴν αὐτοῦ. ἄξων δὲ εἴρεται διαμετρος τοῦ κόσμου, εὐθεῖα δὲ τὸ πόλων ἐπίσεια

ἐπιζευγνυμένη. μέσην μὲν ἔχουσα τὴν γῆν. τοὺς δὲ δύο πόλους πέρατα, καὶ ἡ σφαῖρα περὶ ταῦτα μένουσα στέφεται. τὸ ἄξονα δὲ δεῖ νοεῖν ἀσώματον, γραμμὴν ἀφ' τοῦ βορείου πόλου, καὶ μέχρι τοῦ νοτίου διὰ μέσης τῆς ψυχῆς τῆς γῆς, ἣ συμβέβηκε κέντρον εἶναι τοῦ κόσμου τῇ ἰδίᾳ φύσει, καθ' ἣν ἀμετακίνητός ἐστιν, ἀσάλευτον αὐτὴν παρέχουσαν τὴν θέσιν. τὰ δὲ πέρατα τοῦ οὐρανοῦ, ἃ δὴ περὶ τοῖς ἄκροις τοῦ ἄξονος ἑκατέρου τῶν μερῶν νοοῦνται, πόλοι καλοῦνται, ἀτάλαντον ἀπάντῃ. δίκαιον γὰρ διὰ παντὸς τοῦ οὐρανοῦ εἰκότως, τὴν γῆν κέντρον πεφυκέναι, καὶ διὰ πέρατα αὐτὴν μέσην. τὰ πλευρὰ τείνει τὰ παρ' ἑκάτερα τοῦ ἄξονος τῆς γῆς, ἴσην αὐτὴν ἔχει, ὑπ' αὐτὸ ταλαντευομένην. ἴσην γὰρ αὐτὴν ἀφ' ἑκατέρου μέρους ποιεῖ, αὐτὸς μέσος ὤν, καὶ εἰς δύο αὐτὴν τέμνων, ἢ ἀτάλαντον ἀπάντῃ, διηκαδὴ ἴσην καὶ ὁμοίαν. καὶ αὐτὴ γὰρ σφαιροειδής, καὶ ὁ οὐρανός. καὶ Ἡσίοδος, γῆα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ οὐρανὸν ἀστερόεντα. ἢ ἀτάλαντον τὴν ἴσην καὶ τὰ τὸ διάστημα, ὡς πρὸς τὰ δύο ἡμισφαίρια. ὅσον γὰρ ἀφ' τοῦ ὑπὲρ αὐτὴν τὸ ὕψος ἡμισφαιρίου, ὁ ζόφος τοῦ ὑπ' αὐτὴν τὸ μῆκος ἄπου ἡμισφαιρίου. αὐτὴ γὰρ ἐν μέσῳ τῶν δύο ἡμισφαιρίων κεῖται. Περὶ δ' οὐρανός.) πολλὴ καὶ διαφορὸς ἐνταῦθα ἡ περὶ τὴν γραφὴν ἐνίοις ζήτησις, τοῖς μαθηματικοῖς καὶ γραμματικοῖς. οἱ μὲν γὰρ γραμματικοὶ ἀγνοήσαντες ἔφασαν, περιάγει ὁ οὐρανὸς τὸν ἄξονα. ἔστι δὲ τοῦτο τῶν ἀτοπωτάτων. εἰ γὰρ ἀκίνητον αὐτὸν ἀπεδείκαμεν, καὶ αὐτοῦ τοῦ Ἀράτου ἄντικρυς ἐπόντος, ἀπὸ μιᾶς ἄντως ἄξων αἰὲν ἄρηρεν, πῶς αὐτοὶ περιαγκοῦν αὐτὸν φασίν; οἱ δὲ μαθηματικοὶ τὸ αὐτὸν διαστασιάουσιν, ἵν' μὴ ἑαυτὸν. διωάτου δὲ καὶ ψιλούμενον σώζειν τὸν λόγον, ἤγουν περὶ αὐτὸν τὸν ἄξονα ὁ οὐρανὸς πάντα τὰ ἄστρα ἀγινεῖ καὶ περιφέρει. οὐ γὰρ δὴ ὁ ἄξων τὸν οὐρανὸν περιάγει, ἀλλ' οὐρανὸς ἀφ' ἑαυτοῦ στέφεται. εἰ δὲ διάτισιν ἔρηται τὸν ἄξονα φέρειν τὸν οὐρανὸν, ἀλλ' ὅμως τρόπῳ τὸν χρόνον πάντα φέρειν φαμὲν, καὶ τὸν ὁδὸν τοὺς ὁδοιπόρους.

Καί μιν περαίνουσι δύω πόλοι ἀμφοτέρωθεν.
Ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ' ἀντίος ἐκ Βορέαο,
Ὑψόθεν ὠκεανοῖο. δύω δέ μιν ἀμφὶς ἔχουσαι

Καί μιν περαίνουσιν.) ἀντὶ τοῦ πέρατοῦσι. τὰ γὰρ τοῦ ἄξονος πέρατα δύο πόλοι εἰσίν, οὓς καὶ αὐτὸς ἐπάγει. πόλοι δὲ ἔρκνται, διὰ τὸ περὶ αὐτοὺς τὸν οὐρανὸν στέφεσθαι. γραμμὴ δὲ ὀρθεῖα ἀρξαμένη ἀφ' σημείου, καὶ εἰς σημεῖον λήγουσα. ἀφ' γάρ τινος ἀρχῆς ποιησάμενοι τὴν ἀρχὴν τῆς γραμμῆς, εἴς τι τέλος ἐπέξαμεν. ἡ δὲ ὀρθεῖα γραμμὴ τοῦ ἄξονος, τοὺς δύο πόλους ἔχει, τοὺς ἀφ' σημείου εἰς σημεῖον. Ἀλλ' ὁ μὲν, οὐκ ἐπίοπτος.) οὐκ ἐμφανίσιν ὁποῖον λέγει, ἀλλὰ διὰ τοῦ ἐπιφερομένου ἐδήλωσεν, ὅτι τὸν νότιον λέγει. ζητεῖται δὲ, τί δήποτε τὴν ἀρχὴν ἐθέλων ποιήσασθαι, πρῶτον τοῦ νοτίου ἐμνήσθη. καὶ φαμὲν, ὅτι ἔμπαν διατρίβειν ἐν τῷ βορείῳ πόλῳ, καὶ διὰ τοῦτο τὸν νότιον προέταξε τοῦ βορείου. αἱ δὲ μεταχειρίσεις, ὁμηρικαὶ καὶ λαμπραὶ, καὶ προσεχεῖς ἡ τοῦ ποιήματος ἀρχή. Ὑψόθεν ὠκεανοῖο.) ὑψηλότερος γάρ ὅτι καὶ ἀφανὴς, οὐδέποτε δυόμενος. καὶ Ὅμηρος δὲ, περὶ τῆς ἄρκτου ταύτης φησίν, εἴη δ' ἄμμορος ὅτι λουτρῶν ὠκεανοῖο. μόνη γὰρ ὁ δύ-

ται, τῶν ἄλλων διυομένων. ἄρκτοι δὲ εἰ ρηνται οἱονεὶ ἄκραι, καὶ λιφαλαὶ τῇ κόσμου. ὠκεανὸν δ' τὸν ὀείζοντα, ὁ Αρατος λέγει ποιητικῶς. ὀρίζων μ' γὰρ ἐστι, μεθ' ὅν ἀδίην κμὴν ὁρᾶται. ὡσαύτως δ' καὶ μιξὰ τὸν ὠκεανὸν, κλέων κμὴν ὅτι γνωσόμ. ὠκεανὸς δὲ, ἡ κτὸς καὶ μεγάλη θάλασσα καλεῖται, παρ' ὅσον ἀκέων ῥεῖ. λύκλῳ δὲ τῶν καθ' ἡμᾶς περίκειται οἰκουμένων, ὄχ αὐτῷ δὲ καὶ ἐς αὐτὸν, ἄτε δύσεις καὶ ἀνατολαὶ γίνονται. ὡς δ' ἁπαξ οὕτω, καὶ ἐνταῦθα παρικολούθικεν Ομήρῳ ἐπόντι, ὠκεανὸν τὸν ὀείζοντα. δημιουργῶ γὰρ ἐ κεῖνος τῶν κφαίσῳ χρυσάμψος, τῶν τοῦ ἀχρείως ἀσπίδα ποιεῖ, λῶν ὑπέθιτο κόσμου μίμημα, ὅπου δὴ τετευκτῶν τὸν ὠκεανὸν ἐποίησεν. ὁ δὲ Ηρόδοτος ἐ παρα δέχεται τὸν ὠκεανόν. τὸ σύμπαν δ', λέγει πάσμα εἶναι ποιητικοῦ. ἀτλαντικὸν δ', αὐτὸ πέλαγος καλεῖ. Δύω δὲ μὲν ἀμφὶς ἔχουσα. φησὶ τὸν βόρειον πόλον δηλονότι.

Ἄρκτοι ἅμαξοχόωσι, τὸ δὴ καλέονται ἅμαξαι.

Αρκτοι ἅμα τρεχόωσι.) περὶ τ' βόρφον πόλον, ἄρκτοι ἅμα τροχόωσιν, ἤγουν τρέχουσι. διὰ γὰρ τοῦ ἅμαξαι ὠνομάσθησαν. δίπλοα δέ εἰσιν, ὧν τῶν μ' Καύπλιος ἓν μὲν, τῶν δ' δικυέραν τῶν ἐπάσονα, Θαλῆς ὁ σοφός. λέγει δ' τῶν ἐπάσονα, ἐκόνα κυνὸς ἐν, ἥτις ἦν Καλιστὼ, ἥτις συγκυνηγὸς ἦν τῇ Αρτέμιδι. ἀποθρανόσης δ' αὐτῇ, συναπέθανε καὶ ἡ κύων. τὸ δ' ὄνομα ἔχει, διὰ τὸ ὀρᾶν ἔχειν. Τὸ δὴ καλέονται.) διότι φασὶν ἐπιφύοντο ἀλλήλαις, διὰ τ' τὸ καλοῦνται ἅμαξαι. καὶ γὰρ ἐπιεικῶς ἐν τοῖς ὁλοῖς, ἀκολουθοῦσιν ἀλλήλαις ἅμαξαι, ἐσοχέσι βεσὶ χρώμεναι ἐν τῇ πορείᾳ. διαγράφει δ' ἐν ἑκατέρῳ πλινθίον τι, καὶ ὁ ὑμός. ὑμὸς δ' ἦν ἡ κεφά. ὁ μ' δὴ ἄρκτος κυνέως ἅμαξα δ' κατ' ἐπίκλησιν. τῶν μέν δ' τῶν τ' ἄρκτων τῶν μεγάλων, ὧν μετ' ὀλίγον ὀνομάσει ἑλίκην, Ησίοδος φησὶ Λυκάονος θυγατέρα εἶναι, καὶ ἐν Αρκαδίᾳ κατοικοῦσαν, ἐλθεῖν μετὰ Αρτέμιδος τῶν περὶ τὰς θήρας ἀγωνῶν ἐν ὄρεσι ποιεῖσθαι. φθαρεῖσαν δ' ὑπὸ διὸς, καὶ ἥδη μέλλουσαν τικτειν, ὀφθῆναι κατ' αὐτῆς λουμένην, ἐφ' ᾧ ὀργισθεῖσαν τῶν Αρτεμιν, θηρᾶσαι αὐτὴν, καὶ ὅτω τικτειν ἄρκτον ὄσαν, τ' κυνηγετικὰ κάλλα. ὄσαν δ' ἐν τῷ ὄρει, θηρευθῆναι κατ' αἰτόλων τινῶν, καὶ παραδοθῆναι Λυκάονι μετὰ τ' βρέφους, μετὰ χρόνον δέ τινα, δόξαι ἐσιλθεῖν εἰς τὸ λυκαῖον, ὅ ὅτι τ' διὸς ἄδατον, ἀγνοήσαν ὁ τ' νόμον, ὑπὸ τ' ἰδίου υἱῷ διωκομένην. τῶν Αρκαδίων δ' αὐτῶν ἀναιρεῖν μελλόντων, διὰ τὸν ἐρημένον νόμον, ὁ ζεὺς διὰ τῶν συγγενέων αὐτῆς ἀγέλετο, καὶ ἐν τοῖς ἄστροις ἔθηκεν, ἄρκτον αὐτῶν ὀνομάζας, διὰ τὸ σύμπτωμα. ἔχει δ' ἀστέρας ἐπὶ τῆς λιφαλῆς ἑπτὰ ἀμυδρούς, ἐφ' ἑκατέρων τ' νώτων ἓξ, δύο ἐπὶ τοῖς ὤμοις πλατοῖς, δύο ἐπὶ τοῖς ἐμπροσθεν ποσί, δύο ἐπ' ἄκρων τ' ῥάχεως, ἕνα λαμπρὸν, ἐπὶ τ' ὀπισθίου σκέλους, δύο ἐπ' ἄκρων τ' ποδῶν, δύο ἐπὶ τῆς λέρκου, οἱ πάντες, εἰκοσιτέσσαρες. οὐ χρὴ δ' ἐν τῷ οὐρανῷ τινὰ οἴεσθαι ἄρκτους καὶ ἁμάξας, ἀλλὰ πέρι τι αἰτίας εὐλόγως τίθενται τῆς ἀστροθεσίας, ἢ γὰ κατ' ὁμοίωσιν τῶν ὄνομα τῶν ἄστρων, ὥσπερ ὁ σκορπίος, ἢ κατὰ πάθος, ὡς ὁ λέων. δοκοῦσι γὰρ ἐπὶ τῇ ἐπιτολῇ τ' κυνὸς, λυπᾶν οἱ χρυσῶοι λύνες. ἢ μυθικῶς, ὡς ἡ μετάβλητέα Καλιστὼ ἐς ἄρκτον, ἢ κατὰ τὰ τιμῶν, ὡς οἱ διοσκοῦροι δίδυμοι, ἢ διοσεισμῶ, καὶ δυδασκαλίας χάειν, ὅς τὰ πολλὰ τ' ζωδίων. ἀ τοίνυν ἄρκτοι, ἅμαξαι μὴ κατ' ὁμοιότητα, ἄρκτοι δὲ, μυθικῶς. τὸ δὴ καλέονται, διὰ τ' τὸ φησί,

διὰ τὸ

τὸ πρίζειν ὡς ἅμαξα, ταύτην τὴν ὁ νομασίαν ἔχουσιν. καὶ δὴ τὸ ἑξῆς χῆμα ἅμαξης, τῶν τεσσάρων ἀστέρων, ἀντὶ προχῶν παραλαμβανομένων, τῶν δὲ τριῶν τῆς ὁρᾶς, ἀντὶ ἡμιβ. καὶ ἅμαξα λέγονται, δὴ τὸ ἅμα ἐν ᾧ ἄξονι, καὶ τῇ τούτου ἀρχῇ εἶναι, καὶ ὅσπερ ἐπὶ μιᾶς λέγεται. ἔτι καὶ ἐπὶ τῶν δύο ἔλεγον. ἰωνίως γὰρ καὶ ἑλίκη ἅμαξα λέγεται. οἱ γὰρ ἑπτὰ ἀστέρες, ἁμάξης τύπον ἐπέχουσιν. οἱ μὲν ἐπὶ τοῦ πλινθίου τίθασιν (πλινθίον δὲ λέγεται παρὰ τοῖς γεωμέτραις, πᾶν τετράγωνον) οἱ δὲ ἐπὶ μῆκος, τὸν ῥυμὸν πλησίον. δ' εἴξομεν δὲ καὶ παρ' Ὁμήρῳ τὸ ἐφ' ἑνὸς κεγόμενον, καὶ ἐπὶ τῶν δύο κεφθέν. δουρὶ δὲ ἀκόντιον, ὅσον ἐκ ἄκρου τις οἴσῃ. τὸ γὰρ ἀκοντίζειν, ἴδιον μόνον ἐπὶ τοῦ δόρατος. ὁ δὲ, καὶ ἐπὶ τοῦ οἴσου αὐτὸ ἔθηκε.

Αἱ δ' ἤτοι κεφαλὰς μὲν ἐπ' ἰξύας αἰὲν ἔχουσιν
Ἀλλήλων. ἀεὶ δὲ κατωμάδιαι φορέονται,
Ἐμπαλιν εἰς ὤμους τεταμμέναι. εἰ ἑτέρου δὴ,
Κρήτηθεν. κεῖναι δὲ διὸς μεγάλου ἱότητι,
Οὐρανὸν εἰσανέβησαν, ὅ μιν τότε κουρίζοντα,
Δίκτῳ ἐν ἐνώδει, ὄρει Θ' ἁγνοῦ ἰδαίοιο,
Ἄνδρες ἐγκατέθεντο, καὶ ἔφερον εἰς γειαωτόν,
Δικταῖοι κούρητες, ὅτε κρόνον ἐψεύδοντο.
Οἱ τὴν μὲν κυνόσουραν, ἐπίκλησιν καλέουσι.
Τὴν δ' ἑτέρῳ, ἑλίκῃ. ἑλίκη γε μὲν ἄνδρες ἀχαιοὶ
Εἴν ἁλί τεκμαίρονται, ἵνα χρὴ νῆας ἀγινεῖν,

Αἱ δήτοι κεφαλάς.) ἐπὶ τὰς ἀλλήλων ἰξύας τὰς κεφαλὰς ἔχουσι τεταμμένας, ἐκ ἐπὶ τὰς αὐτῶν, ὡς Ἀείσταρχος ὁ γραμματικὸς φθῆγ, τὰς κεφαλὰς αὐτῶν πρὸς τὴν ἰδέαν ἐξῆς ἐπιστρέφεσθαι, παρὰ τὸ φαινόμενον. ὁρῶσι γὰρ ἐς τὴν προθεν, καὶ οὐκ εἰσὶ πρὸς ἑαυτὰς ἀνατεταμμέναι. καὶ δὲ ἰξύς, καὶ ἄκνησις λέγεται, διὰ οὐκ ἔξεσι ξύσαι, οὐ δ' ἔᾶον κνῆσαι. Εἴτε ὁν δὴ κρήτηθεν.) ὁ Ἄρατος τὸ ἑαυτοῦ ποίημα, καὶ ποικιλόν πως θελήσας εἶναι, ἀλλ' ἐκ μόνον φυσικὸν, ὅπερ ἴδιόν ὅτι ποικ τὸ (τὸν μῦθον λέγω) κατὰ καιρὸν, καὶ ἐκ ἀπιθανῶς μετοχετεύεται. καὶ ὡς ἂν ποιητὴς παρεσάγει, ὡς δὲ περὶ φυσικῶν διαλεγόμενος, οὐ πάνυ ὡς μύθοσιωτρέχων διοκεῖ. ἐπήγαγεν οὖν τὸ ἑ ἑτέρον δ ἔπειτ ὅτι δισταχοῦ, ἤγεν τὸ ἀμφιβάλλον τοῦ. ὁ δὲ μύθος βούλεται τοῦτο ἀνατεταραγμένα ἐν Κρήτῃ, ὅτι τοῦ πυρρίχου, καὶ ὅτι ἔνοπλος ὄρχησις, γνωσθῆναι λέγεται, διὰ ὀρχούμενοι οἱ κορύβαντες, ἐπὶ ὅλον ἐνιαυτὸν τὸν δία ἔθρεψαν, λανθανόντες τὸν κρόνον. Δίκτῳ.) δίκτον ἀκροτήριον δ' Κρήτης, πλησίον δ' ἴδιης τοῦ κρητικοῦ ὄρους, ἔνθα δεῖται ἀλυσίς διὸς τέμενος, παρὰ τὸ παρακείμενον ἐκεῖ ὄρος ἄλυσις. Σχολὸν.) τινὲς γράφουσι, σχολὸν αἰγαίοιο, παρὰ Ἡσίοδον λαβόντες, φασκόντος, τὸν δία ἐν αἰγαίῳ ὄρει πεπυκνωμένῳ ἐν Κρήτῃ τραφῆναι. εἰ δὲ καὶ μὴ ἔστιν ὄρος ἐν Κρήτῃ αἰγαῖον, ἄμεινον δι' ἀσέλγειαν τῇ ἀναγνώσει οὕτω, ὅ μιν ὅτε αὐτὸν κουρίζοντα δίκτῳ ἐν ἐνόδῃ, εἶτα ἀπ' ἄλλης ἀρχῆς, ὄρεσι σχολὸν ἰδαίοιο ἄντρῳ ἐγκατέθεντο. καὶ δὲ νομητέον,

ὅτι

ὅτι ἐγκρυνόδη μὲν. ἐν ᾧ δίκτῳ μετεκομί
θη δὲ ἐπὶ τὸ ἄντρον τῆς ἰδίης. τοῖς οὖν
ἱκτοῦσι πῶς τὸ δίκτυον τοῦ ἰδιαίου ὄρους
πλησίον, φησὶν ἐπὶ πλάτος ἀπέχον. ἐκ
τέον ὅτι εἶεν δεῖ ἐς τὸ ὀνώδια. τὸ δ' ὄρι
ος χρὶ δὲ ἰδιαίοιο σιωαπέειν ἐς τὸ ἄντ
ρον. Ζηνόδοτος δ' ὁ μαθώτης, δίκτυον κ
κουσι τὸ καλούμενον δίκταμνον, καὶ διὰ
τοῦτο, καὶ ἐνῶδις τοῦτο ἀρκεῖ. δοκεῖ δὲ
κεῖς ὠτοκίαν συμβαίνεσθαι, διὸ καὶ τὴν
ἐλεύθειαν τούτοις εἴφουσι. κάπου ἐπ' αὐ
τοῖς Εὐφορείων φησί, εἰψαμένη βαλιροῖ
σι σωπέντεῖο δίκτάμνοισι. καὶ τοῖς ἀμξὶ
δὲ προσφιλὴς ἡ βοτάνη. βέλεα γὰρ φω
θεῖσαι, ὀρύσσουσιν αὐτὴν, καὶ ἀποβάλλον
σι τὸ βέλος. ἰουρήτες δ', καὶ ἰορὶ βαντες,
καὶ ἰδιαῖοι δακτυλοι, οἱ αὐτοί εἰσιν. ἔνθα
δὲ ἀπεῖρ δίκτυ, ἀλλ' οἱ ποιηταὶ εἰώθασι
τὰ χθὲς ἐκκαίασθαι. ὡς χάρα, χῶρος. ὠνὴ,
ὦνος. οὕτως οὖν καὶ δίκτυ, δίκτος. λέγε
ται δ' οὕτω, περὶ ἢ δία ἐκεῖσε τιχθῶσι.
ἐνώδια δὲ διὰ τὴν ἐκεῖσε φυομένην βο
τάνην, τὴν καλουμένην δίκταμνον.

Τῶν μὲν, οἱ δικτᾶοι κόρυτες, φησίν.) ἐκάλουν τὸν μὴ μικρὰν κυνόσουραν, διὰ τὸν τῆς οὐρᾶς ὁμοιότητα. τὸν δ' ἕτε ραν ἐπίκλιν, διὰ τὸ ἐπίστεσθαι. καὶ ἐπικό δη πῶς τὸν οὐρὰν ἔχει. ἢ καὶ διὰ τὸ ἐκ κεῖσθαι ἀπὸ τοῦ οὐρανοῦ κατ' ἐξοχὴν πάν των ὠνομάσθη. ὡς ὁ κίων θὴρ, κατ' ἐξο χὴν ἄρκτα. Τὴν δὲ ἑτέρην ἐπίκλιν.) τὸν μείζονα δικλαδὶ ἄρκτον, ἐπίκλην καλοῦσι. παρὰ τὰς ἐπίκλας καὶ συστροφὰς αὐτῆς. μείζονες γὰρ ἔχει τὰς περιφορὰς ἢ κυνοσούρας, ἅτε καὶ μείζων οὖσα κατὰ τὸ μέγεθος. ἡ μὴ γὰρ κυνόσουρα, περὶ ἢ πόλον δεῖν. ἡ δὲ περὶ τὸν ὅλον βόρεον λύκλον. τὸν μὴ οὖν ἐπίκλιν, τεκμήριον οἱ ἕλληνες ἔχουσι πλέοντες, ὅπου χρὴ τὰς ναῦς ἀγκυρεῖν, κόγουρ ρείφειν.

Τῇ δ' ἄρα φοίνικες πίσσωοι περόωσι θάλασσαν.
Ἀλλ' ἡ μὲν καθαρὴ, καὶ ἐπιφράσασθαι ἑτοίμη,
Πολλὴ φαινομένη ἑλίκη πρώτης ἀχὴ νυκτός.
Ἡ δ' ἑτέρη ὀλίγη μὲν, ἀτὰρ ναύτῃσιν ἀρείων.

Τῇ δ' ἄρα. φοίνικες τῇ κυνοσούρᾳ, διὰ καδὶ τῇ μικρᾷ. βραχεῖα γὰρ οὖσα, ἐν ᾧ αὐτῷ στρέφεται, καί ὅτι μάλιστα τῆς ἑλί κης ὠσύνοπτος, οὐ τῇ λαμπηδόνι (ἀμυν θρὰ γὰρ) ἀπὸ τοῦ ἐν ᾧ αὐτῷ περιστρέφε ται. ἡ γὰρ ἑτέρα ἐν τῇ περιφορᾷ μείζων κυκλουμένη, οὐκ ἔστιν ὠσύνοπτος, διὰ τὸ πολυφορές. οἱ οὖν φοίνικες ὡς ἀκριβέστε ροι τὰ ναυτικὰ, καὶ ἐμπειρότεροι ἢ ἕλλη νες, βαρροῦντες παρὰ τὸν ἐκεῖσε βλέ πουσι, καὶ ἅμα ὁ ἐυρῆς αὐτῆς βαλῆς, ἐς φοίνικας ἀναλῦ τὸ γνῶθ. οἱ δ' ἕλληνες, ἐν ἀγνωσίᾳ τῆς μικρᾶς ὄντες, πρὸς τὸν ἑ λίκλιν ὁρῶντες, ὡς μείζονα διαπλέουσιν, ὅθεν αὐτὸς ὁ Ομηρος ἑλίκαπας καλεῖ, ὅτι ἐς αὐτὸν τοὺς ὤπας ἀνατείνοντας. οἱ δὲ λέγοντες, διὰ τὸ ὀφθάλμους ἐν τοῖς ἕλλησι ἑλίκωπας καλεῖσθαι, ἁμαρτά νουσι. παρθένου γὰρ τὸ ἐπίθετον.

Πολλὴ φαινομένη.) ἡ ὧν μεγέθει, ἀπὸ τῇ λαμπηδόνι. τὸ δὲ πρώτης ἀχὴ νυκτὸς, ἀχὴ ἑσπέρας φησίν. ἀθέως γὰρ δύνασθαι τοῦ ἡλίου φαίνεται, καὶ ἔστι μὴ γὰρ δυόλα, ἀπὸ μεθημέραν ἀπὸ ἡλίου κρύπτεται.

Ἡ δὲ ἑτέρη ὀλίγη.) ἡ δ' κυνόσουρα, ὧν φωτὶ μὴ ὀλίγη ἐστὶν, ἀμυδροτέρα γὰρ. τοῖς δὲ ναυτιλομένοις ἐπιτηδειοτέρα, καὶ ἐπι φέρει, ὅτι ἐκεῖθεν ἐστὶν ἀφῆ κεῖται καὶ περι φορᾷ, ὥστε ἐν ᾧ αὐτῷ στρεφομένη, ἀσύν νοπτος ἐστὶν, οὐ μεγαλῶν τὸν περιφο ρὰν ποιουμένη, καὶ ἀποπλανῶσαν τοῦ τόπον τὸν θέαν, ὡς ἡ μείζων ἑλίκη.

Τὰς

Μειοτέρῃ γὰρ πᾶσα πόδες ἐφέρεται ἐρφάλιγγι,
Τῇ καὶ σιδόνιοι ἰδιώτατα ναυτίλλονται.
Τὰς δὲ δὶ ἀμφοτέρας, οἷκ ποταμοῖο ἀπορῤῥὼξ,
Εἱλεῖται, μέγα θαῦμα, δράκων περί τ' ἀμφίτ' ἐαγὼς
Μυρίος. αἱ δ' ἄρα οἱ πέρυς ἑκάτερθε φύονται
Ἄρκτοι, λυανέου πεφυλαγμέναι ὠκεανοῖο.

Τὰς ἢ δὶ ἀμφοτέρας.) ἀντὶ τοῦ δὶ ἀμφοτέρων αὐτῶν ὁ δράκων εἱλεῖται. πλῶσις ἀντὶ πλώσεως, καὶ καλεῖται τὸ τοιοῦτο ἐπλωισμὸς, ἢ ὅτι διαχωείζει ἀμφοτέρας.

Ποταμοῖο.) παραβάλλει τὸ πολυκαμπὲς τῶν ποταμίων ὑδάτων πρὸς τὸ τοῦ δράκοντος μέγεθος. καὶ ἐν τούτῳ δὶ Ἡσιόδου ἐκλωτὴς φαίνεται. ἐκεῖνος γὰρ τὸν ποταμὸν εἴκασι δράκοντι ἐπῶν, καίτοι διῤῥόμβος ἐπειγμένος εἰσὶ δράκων ὤς. ἔτος ἢ τὸ ναντίον, δράκοντα ποταμὸν ὠνόμασε, μᾶλλον ἢ ἀπείκασε. δράκων ἢ ἔτος, ὃν ἀνεῖλε κάδμος. καθ' ἑτέρους ἢ τὰ μύλα φυλάσσων τῶν ἑσπερίδων. ὡς δὶ ὁ πολὺς λόγος, ὁ ὑπὸ ἀπόλλωνος ἀναιρεθεὶς πυθίων.

Ἀπορῤῥὼξ καὶ Ὄμικρος.) νίκταρός ἐστιν ἀπορῤῥὼξ, οἷον ἀπόῤῥοια καὶ ἀπόσπασμα.

Εἱλεῖται μέγα θαῦμα.) καθ' ὑπῤβολὴν καμπὲς ὢν καὶ μέγας, ἀμφοτέρας διείλεσε τὰς ἄρκτους. φέρεται δὶ περὶ τοῦ δράκοντος καὶ κρητικὸς μῦθος. ὡς ἄρα ἐπιόντος ποτὲ τοῦ κρόνου, ὁ ζεὺς εὐλαβηθεὶς, ἑαυτὸν μὴ εἰς δράκοντα μετεμόρφωσε, τὰς δὲ τροφοὺς εἰς ἄρκτους, καὶ ἀπατήσας τὸν πατέρα. μετὰ τὸ παραλαβεῖν τὴν βασιλείαν, τὸ συμβὰν ἑαυτῷ, καὶ τοῖς τροφοῖς ὡς ἀρκτικῷ ἐνεσήμηξε λύκῳ. ὡς ἂν ἔν τι δῶς ὁ ποιητὴς, ὅτι μετεμορφώθη εἰς δράκοντα, εἶπε, μέγα θαῦμα. τὸ ἢ περί τ' ἀμφίτ', ἀντὶ τοῦ ὑπὸ τὰς ἄρκτους καὶ περὶ τὰς ἄρκτους κεκλασμένος. Εἰ δ' ἄρα οἱ πέρυς.) αἴτινες ἄρκτοι ἑκατέρωθεν αὐτοῦ τῆς πέρας τὸν ὠκεανὸν φυλάττοντα. μόναι γὰρ οὐ δύνουσι, διὰ τὸ εἶναι αὐτὰς ἐν τῷ βορειοτέρῳ.

Αὐτὰρ ὁ γ' ἄλλῳ μὲν νεάτῃ ἀποτείνεται οὐρῇ.
Ἄλλῳ δὲ πέρῃ πόδι τέμνεται. ἡ μὲν οἱ ἄκρη
Οὐρὴ πὰρ κεφαλὴν ἑλίκης ἀναπάυεται ἄρκτου.
Πέρῃ δ' ἐν κυνόσουρα κάρη ἔχει. ἡ δὲ κατ' αὖτιν
Εἱλεῖται κεφαλὴν, καὶ οἱ ποδὸς ἔρχεται ἄχρις.
Ἐκ δ' αὖτις παλίνορσος ἀναπρέχει. οὐ μὲν ἐκείνη

Αὐτὰρ ὁ γ' ἄλλῳ.) περὶ τῶν δύο ἄρκτων ὁ λόγος. λέγει δὶ ὁ δράκων, βατέραν μὴν τῶν ἄρκτων τῇ ἐχάτῃ αὐτοῦ οὐρᾷ ἀποτέμνεται. βατέραν δὶ τὴν κυνοσούραν, τῇ πέρᾳ περιτέμνεται, ἤγουν λαμβάνει. τὸ δὶ ἀποτέμνεται, γράφεται καὶ ἐπιτείνεται, ἢ ἀποτείνεται. κατὰ γὰρ τὴν οὐρὰν ἀποτίταται ὁ δράκων. ἐπάγει γὰρ ὅτι ἡ μὴ ὀρὰ περὶ τὴν κεφαλὴν ἑλίκης ἐστίν. ἡ δὶ πέρα περιλαμβάνει τὴν τῆς κυνοσούρας κεφαλὴν. τὸ δὶ ποδὸς ἄχρις, ὅτι ἡ πέρα φθάνει φησὶν, ἄχρι τ' ὀπισθίου.

Ἐκ δ' αὖτις παλίνορσος.) ἡ πέρα φησὶν ἐξ ὑποτροφῆς ἀνθιστάμενος. ὅπερ ἢ ὁ ποιητὴς ἐπὶ τοῦ φοβημένου τὸν δράκοντα εἶπεν, ὡς δ' ὅτι τὶς δράκοντα ἰδὼν, παλί

νορσος ἀπίσω, τοῦτο ὁ Αρατος ἐπὶ τοῦ δράκοντός φησι. τοιοῦτον δέ τι αἰνίττεται, ὅτι τῇ μὲν οὐρᾷ περιλαμβάνει τὴν κεφαλὴν τῆς ἑλίκης, τῇ δὲ σπείρᾳ οὐ πᾶσαν περιλαμβάνει τὴν κυνόσουραν ἄχρι τῶν ὀπισθίων ποδῶν. ἔπειτα αὖθις ὡς εἰς ἀναζωπύρησιν νίσσας, πᾶσιν ἀποκλίνει εἰς δύσιν, καὶ τὴν κεφαλὴν ἔχει ὑπὸ τοὺς πόδας τοῦ ἡνιόχου.

Οἰόθεν, οὐδ' οἶος κεφαλῇ ἐπιλάμπεται ἀστήρ.
Ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν, εἷς δ' ὑπένερθεν
Ἑξατίην ἐπέχει γένυος δεινοῖο πελώρου.
Λοξὸν δ' ἔστι κάρη. νεύοντι δὲ πάμπαν ἔοικεν
Ἄκρῃ εἰς ἑλίκης οὐρῇ. μάλα δ' ὄζε κατ' ἰθὺ
Καὶ σόμα, καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ
Κείνῳ τοῦ κεφαλὴ τῇ νήχεται, ἠχί περ ἄκραι
Μίσγονται δύσιές τε καὶ αὐτολαὶ ἀλληλῆσι.

Οὐ μὲν ἐκείνη.) ἤγουν τῇ σπείρᾳ, οὐδ' οἴοθεν, ἤγουν ὅθεν ἑνὸς μέρους οὐδ' οἷος ἤγουν εἷς, ἀλλὰ ποποίεσιν ἐπικείμενοι τῇ τοῦ δρακοντος κεφαλῇ φαεροὶ ἀστέρες, πέντε γάρ. λοξὸν δ' ὄζε, λίαν διδασκαλικῶς τοῦτο. ἡ δὲ κεφαλὴ αὐτοῦ κεκόφωται, καὶ οὐκ ἔστιν ἀνατεταμένη ἴσα. ἀλλ' ὥσπερ ὀλίγον ἐπινεύουσα εἰς τὸ ἄκρον τῆς οὐρᾶς τῆς ἑλίκης, ὥστε κατ' εὐθὺ τοῦ ἄκρου τῆς οὐρᾶς ἴσαδε τό, τε σῶμα τοῦ δράκοντος, καὶ ὁ δεξιὸς κρόταφος. ἐπιλαμβάνονται δέ τινες, λέγοντες μὴ εἶναι τὰ δεξιὰ, ἀλλὰ τὰ ἀριστερά. ἀπολογητέον οὖν ὅτι καὶ οὗτος τοῦ ἀριστεροῦ κροτάφου, τὸ δεξιὸν μέρος ἔφη. Μίσγονται.) αἱ δύσεις καὶ ἀνατολαὶ πλησιάζουσιν ἀλλήλαις. λήγουσα μὲν ἡ ἀνατολὴ, ἀρχομένη δὲ ἡ δύσις, κατὰ τὸν μεσημβρινὸν πόλον ἤγουν κύκλον, ὅς ὄζει μεσάτατος πάσης τῆς σφαίρας. ἐπεὶ γὰρ γινόμενος ὁ ἥλιος, μεσημβρινὸς γίνεται, νῦν λοιπὸν ἐβδόμῳ ὥραν ἀπ' αὐτοῦ ὡς ἐπὶ δύσιν ἄρχεται ποιεῖν. ἡ δὲ τοῦ δράκοντος κεφαλὴ, ἀπὸ τὸ τέλμα οὖσα τοῦ ἡνιόχου, καὶ τοῦ ἀπὸ τὸν πόλον κύκλου ἐπιφαύουσα, ἐν τῇ τοῦ οὐρανοῦ κινήσει γινομένη, περὶ τὸν μεσημβρινὸν κύκλον, ἐπ' ἄκροις τοῦ ὠκεανοῦ ὕδασιν ἔρχεται. οὐ γὰρ καταδύεται, ἀλλ' ὥσπερ αὐτοῖς ἐπινήχεται. ὀλίγον γάρ ὄζει σφόδρα τὸ δεξιόν. ὁ δὲ νοῦς. ἐκείνη ἡ κεφαλὴ ἡ τοῦ δρακοντος κατὰ τοῦτο τὸ μέρος, νήχεται καὶ κολυμβᾷ ἄκρῳ τοῦ ὠκεανοῦ, τουτέστι τοῦ ὀείζοντος ἐπιψαύουσα, ὅπου κτὶ δύσις καὶ ἡ ἀνατολὴ ψαύουσιν ἀπλήλων, δηλονότι περὶ τὸν μεσημβρινὸν πόλον, ἤγουν κύκλον. ὁ δὲ Κράτης φησίν, ὡς ἀπὸ τὸν ὀείζοντα μίξις ἀμφοτέρων γίνεται, ὡς καὶ Ομηρος. ἐγγὺς γὰρ νυκτὸς καὶ ἤματος εἰσὶ κέλευθοι. ἐπὲ γὰρ παρ' ἐκείνοις ἡ ἡμέρα ὠρῶν κ, ἡ δὲ νὺξ τεσσάρων, συναπτούσης ὅσον οὐδέπω τῆς δύσεως τῇ ἀνατολῇ, εὐλόγως τοῦτο εἴρηκεν.

Τῆς δ' αὐτοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἔοικός
Εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰπεῖν,
Οὐδ' ὥτινι κρέμαται κεῖνος πόνῳ. ἀλλάμιν οὕτως
Ἐνγόνασι καλέουσι. τὸ δ' αὖτ' ἐν γούνασι κάμνον

Οκλά-

Οκλάζοντι ἔοικεν. ἐπ' ἀμφοτέρων δὲ οἱ ὤμων
Φθάμενος δὲ λύων.) ὁ δὲ σείριος τοὺς ὀπισθίους πόδας ἀναιρεῖται, ἀνατελλόντων τῶν ἐμπροσθίων, διὰ τοῦτο οὖν φησιν φθάμενος, ὅτι τοὺς ὀπισθίους πόδας φθάνει ἀνατέλλων. Ἡ δὲ, θεὶ γαίης.)λείπει ἡ ὑπὲρ πρόθεσις, ἵν' ᾖ ὑπὲρ γαίης. ἡ γὰρ ἀργὼ φέρεται ὑπέργειος, κατὰ τὸν ἴσον διχαλομένην. ὁ γὰρ ἰσὸς ἐπ' ἄκρῃ δὴ τοῦ διχοτομήματος, ἐπεὶ ἡμίτομος ἐστιν. ὁ δὲ ἐν τῷ μέσῳ τῆς νηός ἐστιν, διὸ καὶ ὁ τόπος ἔνθα κεῖται, μεσόδμη καλεῖται. ὁ δὲ λόγος, ἡ δὲ ἀργὼ πᾶσα ὑπέργειος φέρεται, ἥτις κατὰ ἴσον ἔχει διχοτόμημα, ὁπηνίκα πᾶσα ἡ παρθένος ἀνατέλλει. τεραίοιεν δὲ, ἤγουν ἐκ τοῦ ὑπὸ γῆν μέρους ἀνέλθῃ ἐς ἀνατολήν. Οὐδ' ἐπεχόμεναι.) ἀλλ οὐ δὲ αἱ χηλαὶ ἐπεχόμεναι, ζυτίσιν ἀνατέλλουσα, ἀσημότατοί εἰσι. ζωανατέλλει γὰρ αὐτοῖς ὁ βοώτης. ἀθρόος δὲ ἅπαξ, τὴν ἰδιότητα τῆς ἀναστολῆς δηλῶν, ὅτι τὰ ἐν πολλῷ χρόνῳ διώοντα ἀθρόως ἀνατέλλει. ἐκ δὲ τοῦ ἐναντίου, τὰ τοχέως διώοντα, πλέονι χρόνῳ ἀνατέλλει, ὥσπερ ὁ ὠείων. ἡ ἢ ἀργὼ μετήορος ἤδη πᾶς. μέρη γὰρ αὐτῆς ζωανατέλλει τῷ πλέοντι, ὥστε ὁμοῦ τοῖς χηλαῖς πᾶσαν ἀνατεταλκέναι. τὸ ἢ οὐ μάλα πᾶσά, φησιν, ἐπεδὴ οὐχ ὅλη κατεστεῖσα, κατὰ ἔπομεν, ἀλλ ἡμίτομος. τὸ ἢ βεβολημένος, ἀντὶ τοῦ καταλαμβανόμενος, ἢ καταλαμπόμενος τῷ ἀρκτούρῳ. Χηλαὶ καὶ λεπτὰ φάουσαι.) ἐπεδὴ ἔπειν, ὅτι ἄνεισιν ὁ ὠείων, ἡ κεφαλὴ τῆς ὕδρας φαίνεται, ὅτε ἡ παρθένος, ἀνατέλλει μέχρι τοῦ κρατῆρος, ὅτε αἱ χηλαὶ, λοιπὸν ἅπαν τὸ σῶμα πλὴν μόνης τῆς ἄκρας οὐρᾶς, ἐπάγει ἐκείνους, ὅτι πολλάκις ἐν οὐρανῷ ἐκμένει. οἱ ἢ, τὸ ἀργὼ δ' οὐ μάλα πᾶσα, οὕτως ἔκειν, ὅτι ὁ τελικαῦτα ἡ ἀργὼ ἐστιν μετήορος, ἀλλὰ καὶ πρὶν τὴν πᾶσαν ἀνιέναι παρεγένετο, ὅτε μέχρι ἡ πᾶσα ἀνέρχεται, τότε

βλεπόμενη καὶ ὑδρα ὁλοχερῶς φαίνεται.

Αἰὰ γνύξ.) τοῦ δὲ δεξιοῦ γόνυ ἐπι πλέον. λέγει δὲ τοῦ ἐνγόνασιν, ἀφ' οὗ καὶ ἀνιδσαι, μόνον τὴν δεξιὰν κνήμην μέχρι τῆς ἐπιγονατίδος ἄγουσι. τὸ δὲ ἀεὶ κύρῃ, πρὸς τὴν διεδασκαλίαν δὴ τῆς θέσεως. πλησίον γὰρ ὄντων τῆς λύρας, καὶ ἔοικεν ὁκπλάζοντι πλησίον αὐτῆς, καὶ ἐν ζοῖς πρώζοις δὲ ἄπιν, γόνατί οἱ σκαιῷ πιλάει. Αμφότερον δεδιώντα.) δεδιέναι φασὶ τὸν ἐνγόνασι, καὶ δεῖν τῆς αὐτῆς νυκτὸς ἀνιέναι, ἐκ πεδὶ τῶν ἀμφιφανῶν ἀστέρων ἐστίν, ὃν συμβέβηκε δεῖν τῆς αὐτῆς νυκτὸς θεωρεῖσθαι καὶ ἀνατέλλοντα καὶ δεδιώντα. ἀμφιφανῆ δὲ τὰ ἐπιδέξια τοῦ θεοῦ φοπικοῦ, ὅν ἔρχομένης νυκτὸς ἀνατέλλοντα φαίνεται, ὅσπερ καὶ ὁ ἀρκτοῦρος. τὸ δὲ πολλάκις αὐτονυχεῖ, ἀντὶ τοῦ κατὰ τὴν αὐτὴν νύκτα. μεταξὺ γὰρ τοῦ ἀρκτικοῦ κατασέρεται, ὃν εἴρηκεν ἀμφιφανῆ τυγχάνειν, καὶ μεταξὺ τοῦ θεοῦ φοπικοῦ, ὃν παρέδωκε πέντε μὲν τῶν ὀκτὼ ὑπέρογκα ἔχειν, καὶ τρία ἐπόγκια. ὅταν οὖν ὁ ἥλιος τὸν χειμερινὸν τροπικὸν διοδεύῃ, ἔχοντος αὐτοῦ τῶν ὀκτὼ μερῶν, τὰ πέντε ἐπόγκια, τὰ δὲ τρία ὑπέρογκα, τὴν νυκτὸς κατ' ἐκεῖνον τὸν καιρὸν ἐκ ὡρῶν γινομένης, ὁ ἐνγόνασι μεταξὺ τοῦ θεοῦ καὶ τοῦ ἀρκτικοῦ κύκλου τεταγμένος καὶ πρὸς ἀνυπνεγμένος, κόλη δὲ τὴν ἡμέρας τὸ ἐπόγκιον μέρος ποιέμενος, διώκας ἀεὶ α ὥρας τὴν ἡμέρας. ἀναγκάζει καὶ πρὸς ὥραν θ τῆς ἡμέρας ἀνατέλλων ὑφίσκεσθαι, σὺν ταῖς χηλαῖς καὶ τῷ ζόστῃ, οἷς ἀναστέλλει καὶ τὸ ἥμισυ τοῦ στεφάνου, καὶ ἡ οὐρὰ τοῦ ταύρου.

Πολλάκις αὐτονυχεῖ θηεύμεθα. τὸ μὲν ἄρ οἵη
Κνήμη σὺν χηλῇσι φαείνεται ἀμφοτέρῃσι.
Αὐτὸς δ' ἐς κεφαλὴν ἔτι τοῦ τετραμμένος, ἄλλῃ
Σκορπίον αὐτέλλοντα μένει, καὶ ῥύτορα τόξου.
Οἱ γὰρ μὲν φορέουσιν, ὁ μὲν μέζον ἄλλατε πάντα,
Χεῖρα δὲ οἱ σκαιὴν κεφαλῇ ἅμα τόξον ἀγινεῖ.
Ἀλλ' ὁ μὲν ὡς τρίχα πάντα καταμελεΐσι φορεῖται.
Ἡ μισυ δὲ στεφάνοιο, καὶ αὐτίκα ἔσχατον οὐρὴν
Κενταύρου, φορέουσιν ἀνερχόμενοι ἔτι κηλαί.
Τῆμος ἀποιχομένην κεφαλὴν μετεδύετο ἵππος,
Καὶ προτέρου ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή.
Δύεται δ' αὖδ ρομέδης κεφαλή. τὸ δὲ οἱ μέγα δεῖγμα
Κήτεος ἠερόεις ἐπάγει νότος. αὐτίκα δ' αὖτος
Κηφεὺς ἐκ βορέω μεγάλῃ αὐὰ χειρὶ κελεύων.
Καὶ ὁ μὲν ἐς λοφιὴν τετραμμένος, ἄχρι πάρ αὐτίκα
Δύεται. ἀτὰρ κηφεὺς κεφαλῇ καὶ χειρὶ κάμω.

Τοῦ μὲν ἄρ οἵη.) σὺν ταῖς χηλαῖς φησὶν τοῦ ἐνγόνασιν ἡ κνήμη φαίνεται, μικρὸν ὑπερῶν ἀνιέναι τῶν χηλῶν. Αὐτὸς δ' ἐς κεφαλήν.) λεγόμενος φησὶν ἐν τῇ ἀναζολῇ, ἐκδέχεται τὰς τοῦ σκορπίου ἀναζολὰς καὶ τοῦ ζόστου. οὗτοι γὰρ τέλειον αὐτὸν ἄγουσι. ταῖς μὲν γὰρ χηλαῖς ἡ κνήμη αὐτοῦ ἀναφαίνεται, τὰ δὲ μέζα τοῦ σκορπίου. ἡ δὲ ἀριστερὰ χεὶρ, ἅμα τῇ κεφαλῇ τοῦ ζόστου, ὅστε τρισὶ ζωδίοις αὐτὸν ἀναφαίνει.

φάνειαν. Τὴν ἀποιχομένην.) ἐν τῷ ἀνιγόνα μέλλον τὴν παρθένον, ἡ λεφαλὴ τοῦ ἵππου εἰς δυσμὰς καταινιχθεῖσα μόνη, νῦν μετιοῦσα τὴν χηλῶν, ἀνιγόνα σὺν ἥλίῳ ἔστιν ἰδεῖν τὸν πάντα ἵππον σὺν ἡλίῳ δύνοντα, διόφησι τὸ τὴν νικῶντα μετὰ τὴν πρεσβυτέρων ἑαυτοῦ λεφαλὴν, καὶ δύσαντα ὁλοκερῶς ὁ ἵππος ὅλος δύεται. τὸ δὲ προτέρου ὄρνιθος ἐφίεται ἕκατος οὐρὰ, εἶπον, ἢ δεξὰ τὴν θέσιν. τοῦ γὰρ ἵππου ἐπίπροσθεν ὅτι κατὰ τὴν θέσιν, ἢ πρὸς ἀντιδιαίρεσιν καὶ σύγκεισιν τοῦ ἄστρου. Βορειότερος γὰρ αὐτοῦ ὁ λύκνος. τὰ δὲ βορειότερα καὶ ἀνώτερα, ἐπὲ προανατέλλει τῶν νοτίων. ἄνω δὲ τὰ βόρεια, ὅτι μετεωρότερα ὡς πρὸς τὸν ὁρίζοντα. Δεῦρα δ' ἀνδρομέδης.) δεῦρα τῆς ἀνδρομέδης λεφαλή. τῶν δὲ νοτίων τὸ κῆτος ὥσπερ ἐπ' αὐτὴν καταφέρεται. ὁ δὲ λεφεὺς, ὥσπερ ἀποβεβῶν τὸ κῆτος φαίνεται. ἢ μὴ οὖν κῆτος τὰ μέχρι τῆς λοφιᾶς δύνει, τοῦ δὲ λεφέως ἡ λεφαλή. Τὸ δὲ οἱ μέγα δέγμα.) ἐπάγει τῇ ἀνδρομέδῃ ὁ νότος τὸ κῆτος σαυδυόμενον γὰρ δοκεῖ ὥσπερ ἐπ' αὐτὴν σπεύδειν. τὸ δὲ ἠρόεις, ἀχλυώδης. καὶ χαμβυνὸς, καὶ σκοτεινός. ἐν γὰρ τῷ χαμῶνι, πνεῦμα πᾶσιν. Αὐτία δ' αὐτός.) ποιητικόν ἐστι, καὶ φησὶν ἐκτείνειν τὸν λεφέα τὴν χεῖρα, ὥσπερ πρακτικοῦ τῷ παιδὶ ἐκκλίνειν τὸ κῆτος, ἐπεδὴ σὺν αὐτῇ κατῆλθε. Καὶ τὸ μὴ ἐς λοφιήν.) καὶ τὸ μὴ κῆτος μέχρι ὤμων καὶ στήθους δύεται, ὁ δὲ λεφεὺς μόνη τῇ κεφαλῇ. τὰ δὲ λοιπὰ αὐτοῦ ἄδυτα, ὅτι ἔνδοθεν δεῖν ἐν τῷ βορέῳ.

Καμπαὶ δ' ἅμ' ποταμοῖο, καὶ αὐτίκ' ἐπερχομένοιο
Σκορπίου, ἐμπίπτοιεν ἐυῤῥόου ὠκεανοῖο.
Ὃς καὶ ἐπερχόμενος φοβεῖ μέγαν ὠρίωνα.
Ἄρτεμις ἱλήκοι, προτέρων λόγος. οἶμιν ἔφαντο
Ἑλκῆσαι τὸ πλοῖον χίῳ, ὅτε θηρία πάντα
Καρτερὸς ὠρίων σιβαρῇ ἐπέκοπτε κορύνῃ,
Θήρης ἀρνύμενος κείνῳ χάριν οἰνοπίωνι.
Ἡ δὲ οἱ ἐξ αὐτῆς ἐπετείνατο θηρίον ἄλλο
Νήσου, ἀναῤῥήξασα μέσας ἑκάτερθε κολώνας,
Σκορπίον. ὃς ῥάμιν οὖτα καὶ ἔκτανε πολλὸν ἐόντα
Πλείστερος προφανείς. ἐπεὶ ἄρτεμιν ἤκαχεν αὐτίκ.
Τοὔνεκα δὴ καὶ φασὶ πραιόθεν ἐρχομένοιο
Σκορπίου, ὠρίωνα πόδι χθονὸς ἔσχατα φεύγειν.

Καμπὰ δ' ἅμ' ποταμοῖο.) ἅμα τῷ σκορπίῳ ἀνατέλλοντι, αἱ τοῦ ποταμοῦ καμπαὶ δύουσι, καὶ ὁ ὠρίων, ὃς κυνηγετῶν περὶ χίον, τὴν ἄρτεμιν ἐθεάζετο, καὶ τῶν πέπλων αὐτῆς ἐλάβετο. ἡ δὲ θυμοθεεῖ, πρᾶον τὰ σκορπίον ἐκ τῆς γῆς ἀνέδωκεν, ὑφ' οὗ ἐπλήγη ὁ ὠρίων. καὶ νῦν οὖν ὡς δεῖ φόβον ἀνατέλλοντος σκορπίου, ὁ ὠρίων δύεται. ὃς καὶ ἐπερχομένου ὄστις ὁ σκορπίος ἀνατέλλων ἐκφοβεῖ, καὶ εἰς δυσμὰς ἄφθη τὸν ὠρίωνα, εἶτα ἐπάγει βιοφελῶς τὴν ἱστορίαν, δεδικνὺς ὅτι δεῖ μὴ ἀσεβεῖν, ἐξ ὧν ὁ ὠρίων πέπονθεν. ἀρχόμενος δὲ τῆς ἱστορίας, ἐξαυτὸ νίζεται τὴν ἄρτεμιν, ὅτι ἄρχεται λέγειν ὡς ὑπ' ἀνθρώπου ἐθιάζετο. καὶ ἀφοσιοῦται αὐτὴν, λέγων, ὅτι τῶν παλαιοτέρων δεῖν κ φέμεν,

φήμιν, καὶ οὐκ ἐμὲ, καὶ σφόδρα ἀσέως, αὐτὸ ποιήκει. βιωφελῆ γὰρ ἐκτιθέμη τὴν ἱστορίαν, ἐξ ὧν προσωμφίζεται διάκνυσιν, ὅτι οὐδὲ λόγῳ θεμιτὸν τὰ δικαῖα λέγειν, μήτε δὲ καὶ πράττειν. ἔχει δ' ὧδε ἡ ἱστορία ἀπ' ἀρχῆς. οἰνοπίων ὁ διονύσου καὶ ἀριάδνης παῖς ἐν χίῳ τῇ νήσῳ ᾤκει, ταύτης βασιλεύων. αὐτῇ ἡ χίος ἔχει πλέπα ἑρπετὰ, ὡς καὶ δεῖ τὸ πολύθηρον αὐτῶν εἶναι, ὀφιοῦσαν καὶ θηρία. πρὸς χάριν δὲ νίων οἰνοπίωνος ἦλθεν ἀφ' βοιωτίας ὁ ὠρίων, ἄγαμος ὢν καὶ νηνεὸς, ὅπως καθάρῃ τὴν νῆσον. ἔχων δ' σὺν αὐτῷ τὸν ἄρτεμιν καὶ κυνηγετοῦσαν, ἀκόσμως ἐδιάζετο. ἡ δὲ κολάνεν τῆς νήσου ἐποίησε δεφθαρῆναι, καὶ ἀναδοθῆναι τὸν σκορπίον, ὑφ' οὗ ὁ ὠρίων πληγεὶς ἀπώλετο, καὶ κατηστερίσθη καὶ αὐτὸς καὶ ὁ σκορπίος. ὥσπερ δ' καὶ ἐν οὐρανῷ διδοικὼς αὐτὸν ὁ ὠρίων, ἀεὶ φεύγει. καὶ ὅτι ἐκεῖνος ἀνατέλλει, ὁ ὠρίων δύεται. ὅτι δὲ δύεται ὁ σκορπίος, ὁ ὠρίων ἀνατέλλει. ὁ δὲ ὃν Νίκανδρος, τῆς τῶν θεῶν εὐσεβείας γνώμων, βραχύ τι νά φησιν εἶναι τὸν σκορπίον, δείκνυς ὅτι θεῶν βουλεύσει, καὶ μικρὸς ὢν ἰσχύει κατὰ μέγεθος. οὗτος δὲ ὁ Αρατος ἐκ τῆς ἀγροθεσίας καταναυάγας τὸ μέγεθος, φησὶν ὅτι καὶ ὅλον ὄρος ἀνέρρηξεν, ἵνα ἀναδοθῇ ὁ σκορπίος. Θήρας ἀρνύμη.) κύνας περιποιούμη, ἀντὶ καταλαπαστόμου, δηλὰ τὸ φονεύειν τὰ ζῶα, χάριν οἰνοπίωνος. εἰ δ' ὑμῶν γράφοιτο, σημαίνει τὸ λαμβάνων. ἔστι δὲ ὁ ὠρίων κατὰ διάμετρον τοῦ σκορπίου.

Η δὲ οἱ ἐξ αὐτῆς.) ἡ ἄρτεμις φησὶν ἐξ αὐτῆς τὸν χίου ἐπιτέλαζε ἀναδοθῆναι, ζωντέσιν ἐποίησε θηρίον ἄλλο, ὡς πρὸς τὰ ὄντα ἐν τῇ χίῳ, ὧν φόνον ἐργάζεται ὁ ὠρίων. τὸ οὖν ἐπιτέλαζε, γράφεται καὶ ἐπιτέλαζε. Πολὺν ἐόντα.) ὅτι γὰρ σφόδρα μέγας ἦν ὁ ὠρίων, καὶ κατὰ τὸν Ομηρον ἔξεστι μαθεῖν. λέγων γὰρ τὸ μέγεθος τοῦ πάλαι τῆς ἱερμιδείας. ἐννέ ὀργυιαν κατὰ τὸ μῆκος, ἐπιφέρει μετάγε κλυτὸν ὠρίωνα. πλειότερα προφανεῖς, τὸν σκορπίον φησὶ πλείονα αὐτοῦ καὶ μείζονα, σοχαζόμη, ὅτι καὶ δύο ἄστρων μῆκος ἐπέχει, καὶ ἐξικνοῦται μοιρῶν δεῖν μόνος. Ωρίωνα πρὶν χθονὸς.) καὶ αὐτὸς ἀπ' αὐτῶν τῶν λέξεων σφόδρα ἐπογράφει τὸ ὠρίωνα δεδοικότα, τὰ δ' γῆς ἔρατα καταλαμβάνει, ἐπρβολῇ φόβου καὶ τῆς δειλίας.

Οὐδ' ἐ μὴν αὐδρομέδης καὶ κήτεος οὔσ' ἐλέλειπτο
Κέινου δ' αὐτέλοντος ἀπόβλεδ. ἀλλ' ἄρα καίτοι
Γανυσδίη φεύγουσιν. ὁ δὲ ζώνῃ τότε κηφεὺς
Γαῖαν ἐπιξύει, τὰ μὲν εἰς κεφαλὴν μάλα πάντα
Βάπτων ὠκεανοῖο, τὰ δ' οὐ δέμις, ἀλλὰ τά γ' αὐτὰς
Ἄρκτοι λωλύουσι πόδας καὶ γοῦνα καὶ ἰξύν,
Ἡ δὲ καὶ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλειο
Δειλὴ λαστιέπεια. τὰ δ' οὐκέτοι οἱ κατὰ κόσμον
Φαίνεται ἐκ δίφροιο πόδες καὶ χεῖρες ὕπερθεν.
Ἀλλ' ἤγ' εἰς λεφαλὴν ἴσην δύετ' ἀρνευτῆρι
Μειρομένη γονάτων. ἐπεὶ οὐκ ἄρ' ἔμελλεν ἐκείνη
Δωρίδι καὶ πανόπτῃ μεγάλῳ ἄστρι ἰσώσασθαι.
Ἡ μὲν ἄρ' εἰς ἑτέρην φέρεται. τὰ δὲ νειόθι μᾶλλον

Οὐρανὸς αὐτιφέρει, στεφανοιότε δ' εὐτερα κύκλα,
Ὑδρης τ' ἐχατιλίω, φορέει τ' ὤμ κυνταύροιο
Σῶμά τε καὶ κεφαλίω, καὶ θηρίον, ὅ ῥ' ἐνὶ χειρὶ
Δεξιτερῇ κυνταυρος ἔχει, τοί δ' αὖθι μένουσι

Οὐδέ μὴν ἀνθρωμίδης.) τότε καὶ τῆς ἀνθρωμίδης καὶ ἡ κύτος ὅς ἐπιλέπετο, τῇ τῶν χιλῶν ἀναζωῇ καὶ ταῦτα δεῖν. τοῦ δ' κηφέως τὰ μέχρι ζάνης δέδυκε. τὰ μὲν γὰρ ἄκρα ἀπὸ τῶν ποδῶν μέχρι τῆς ἰξύος, ἐν ὤ ἀεὶ φανερῷ ὄτιν κύκλῳ. ἡ δ' ζώνη ἄπεστι τοῦ ὀείζοντος. ζῦτο γάρ ὅτι τὸ γόνυ ἐπιξύει. ἄρκτους δέ, ἔπι τὸν ἀρκτικὸν κύκλον. Πανσυδίη φάγουσιν.) κύκλῳ σὺν παντὶ ὤ πάθει κατάγονται. ὁ γὰρ ὠείων δυόμενος, ἐκ τοῦ σπάδιεν καὶ δεδοκέναι, τὰ προειρημένα αὐτῷ πάντα ἄστρα δεδόκεν καὶ προωθεῖ, διὰ ἔπι σὺν πᾶσι ζῶις μετὰ ὠείων κατιῶσι, ὤ δικτωτῷ, ὤ ταύρῳ, ὤ κυφεῖ, ὤ πρδσεῖ. τὸ δ' ἀπανθεῖν, ἄσκιπδοι καὶ πρημεκμένοι. δεῖ δ' νοεῖν, ὅτι καὶ αὐζοὶ τό, τι κῦζε καὶ ἡ ἀνθρωμέδη κα ταδεδύκασιν. Η δ' καὶ αὐτὴ πασδὸς.) κάπι ἡ μετὰ, ἵν' ἡ μετὰ ἡ εἰδώκη ἡ θυγα πρὸς αὐτῆς φέρεται ἡ κασιέπεια. οἱ δὲ πόδες αὐτῆς καὶ τὰ γόνατα οὐ κοσμίως φέρονται, ἀπὰ ἀκόσμως. ἐπὶ κεφαλίω γὰ δέκλιν κυδισῆρ δίνεται. Μερομένη γονάτων.) ἤγουν ἀπὸ τῆς δύσεως μετεφομένη κατὰ τὰ γόνατα. ὁ γὰρ ὀείζων οὐκ δέχεται αὐτῆς τὰ γόνατα, ὡς ἐπὶ τὰ βόστρυχα ὄντα. Ἐπεὶ οὐκ ἄρ' ἔμεκον.) ἐπεὶ δὲ ἐκείνη ἡ κασιέπεια ἐκ ἔμεκον ἐσώθη, καὶ πδὶ κάκης ἐναντιωθεῖσα τοῖς νικῶσι, ἄνευ μεγάλων τιμωριῶν καὶ ζημιῶν. δεῖ γὰρ τῶν αἰτίαν ταύτῳ, καὶ ὁ ποσειδῶν ἀνέπεμψε τὸ κῆτος τῇ χώρᾳ αὐτῆς, ὡς ἀναγκασθῆναι, θοίνεν αὐτῷ προθεῖναι τῶν ἀνθρωμέδην. Η μὴν, ἄρ' ἐς ἐτέρων φέρεται.) οὕτω μὴ οὖν ἡ κασιέπεια ἐπὶ δυσμὰς κατάγεται. νυῦ γὰ ἑτέρων τὴν δύσιν φησίν. ὁ δὲ οὐρανὸς κάτωθεν ἀπὸ ἡ ὀείζοντος ἄστρα, ἀκὰ ἀπὸ τῆς ἀνατολῆς φέρει, ὡς φανὲ τὰ μὲν ἀνατέλλει, τὰ δὲ δυεῖ. Στεφανοιότε δεδύτερα κύκλα.) ἀντὶ τῦ δεύτεροι πειόδοι. ἐν γὰρ ὤ ἀνεῖναι ἡ κρκῖνον, ἔπεν ὅτι ὁ στέφανος δύεται. νυῦ οὖν ἐπεδὴ ἀνῆλθεν, ἔπι δεύτερα κύκλα. ἡ ἐπεδὴ μετεβῶν ἡ χιλῶν ἀνεῖναι, ἡ ἡ κυνταύρε οὐρὰ ἐφάνετο, καὶ τὸ ἥμισυ αὐτῦ κῦ φανερόν. νυῦ δὲ ὅτι ὁ σκορπίος ἀνῆλθεν ὁ πᾶς φαίνεται, δεῖ τοῦτο δεύτερα κύκλα. ἡ τῦτό φησιν δύο κύκλα, ὅταν δεύτερος ἐς κύκλος, καὶ ὅταν μέλλῃ ἐτέρος ἀνατέλλειν, καὶ λοιπὸν δύο εἰσὶ κύκλοι. Ὑδρης τ' ἐχατίλιν.) καὶ τῶν οὐρὰν τῆς ὕδρας. ὅτι γὰ ἔμεκον ἀ χιλὰ ἀνεῖναι, ἔπεν αὐτὴν ἀνεκκυθῆναι. νυῦ δὲ καὶ τὰ ἕρατα μέρη αὐτῆς φησι ζωνα βαίνειν, καὶ τοῦ κυνταύρου τὸ λοιπὸν σῶμα μέχρι ἡ κεφαλῆς καὶ τῆς δεξιᾶς, ἐν ᾗ τὸ θηρίον κρατεῖ. οἱ δὲ ἐμπρόσθιοι πόδες, τὰ μέχρι ἡ μέσου ἀνεῖναι σὺν κλίῳ.

Τόξον ἐπηχόμενον πρότεροι πόδες ἱππότα φηρός.
Τόξῳ καὶ πείρῃ ὀφθαλμῷ καὶ σῶμ' ὀφιούχου
Ἀντέλλει ἐπιόντι. κεκήκατα δ' αὐτὸς ἀγινεῖ
Σκορπίος αὐτέλλων. αὐάγει δ' αὐτὰς ὀφιούχου
Χεῖρας καὶ προτέρην ὄφεος πολυτειρέος αὐχένα.
Τοῦγε μὴν γηγένασιν. πόδι γὰρ τεθαμμένος ἀεὶ

Ἀντέλλει.

Ἀντέλλει, τάτε μὲν πρὸς τὴν ἐξέρχεται ἄλλα,
Γῆά τε καὶ ζώνη δὲ σήθεα πάντα καὶ ὦμοι
Δεξιτερῇ σὺν χειρί. κάρη δ' ἑτέρῃς μετὰ χειρὸς
Τόξῳ ἀνέρχονται καὶ τοξότῃ ἀντέλλοντι.
Σὺν τοῖς ἑρμαίη τε λύρη, καὶ σήθεϊ ἄχρις
Κηφεὺς ἠώου πρηλαύνεται ὠκεανοῖο.
Ἡ μος καὶ μεγάλοιο λιμὸς πᾶσαι ἀμαρυγαὶ
Δύουσι, καὶ πάντα κατέρχεται ὠρίωνος.
Πάντα γεμεῖν ἀτέλεσα διωκομένοιο λαγωοῦ.
Ἀλλ' οὐ κυνιόχῳ ἔριφοι. οὐδ' ὠλενίη αἶξ

Ἱππότα φυρός.) παρὰ τὸ ὁμηρικὸν ἔθος. ὧν γὰρ ἵππότα, ἀντὶ εὐθείας ἐκφέρει τὸ ὁ ποιητὴς, οὗτος δὲ ἀντὶ γενικῆς. φῦρα ἤ, λέγει τὸν ἱππόταυρον ποιητικῶς. Τόξῳ καὶ σπείρῃ ὄφιος, ἐπίονος δὲ τοῦ τοξότου καὶ ἀνατέλλοντος, ἀνατέλλει ἡ τοῦ ὄφεως σπεῖρα, καὶ τὸ σῶμα τοῦ ὀφιούχου. ἀνάγει δὲ αὐτὰς τὰς τοῦ ὀφιούχου χεῖρας, καὶ τὴν πρότερον πειέκλασιν καὶ λαμπὴν τοῦ δράκοντος. τὸ ἤ πολυτέρπεος, οὐ τὸ πόπλιν λαμπὴν ἔχοντος ὡς φέροντα ἢ λόπον, παρὰ τὸ τέρειν. οὐ γὰρ φυσικὸν τὸ οὕτως ἔχειν γεῶδη, ἀπὰ πολυτέρπεος τοῦ πολυάστρου. Τοῦτο γὰρ μᾶλλον θεωρηματικόν. Τοῦ γε μὴν ἐνγονάσιν,) εἶτα πρόγνωσις. ἀεὶ γὰρ ἀνατέλλει ἐς τὸ ἐναντίον προφαινόμενος. οἱ γὰρ πόδες πρῶτοι ἀνάγονται, ὕστερον δὲ ἡ λιφαλή. ὁ δὲ λόγος, τοῦγε μὴν ἐνγόνασιν ἀνατέλλει, τὰ γόνατα καὶ ἡ ζώνη καὶ ὁ ὦμος σὺν τῇ δεξιᾷ χειρί. τίνος ἤ ἐνικῶ οἱ πόδες πρῶτοι ἀνατέλλουσιν, ἔφην. ἀεὶ γὰρ πρὸς τὴν γραμμὴν ἀνατέλλει, καὶ οὐχ ὅτι ζώνην ἔχει, ἀλλὰ ἀπὸ τῆς ζώνης τὸν τόπον ζῶν ἐκτίθεται. δῆλον δὲ. ἐπίγαιοι γὰρ καὶ σήθεα μέχρι. κάρη δ' ἑτέρης μετὰ χειρὸς. ἡ δὲ λιφαλὴ μετὰ χεῖρος τῆς ἑτέρας, ζωτέοι τῆς ἀριστερᾶς ὧν τόξῳ ἀνέρχονται. καὶ ὧν τοξότῃ ἀνατέλλοντι, ἡ ἡ λιφαλὴ τοῦ ἐνγόνασι μετὰ τῆς ἀριστερᾶς χεῖρος σὺν ὧν ζῶν ξότῃ ἀνέρχεται. Σὺν τοῖς ἑρμαίη λύρα.) σὺν δὲ τοῖς προειρημένοις, ἡ τοῦ ἑρμοῦ λύρα, καὶ ὁ λιφεὺς ἄχρι τοῦ σήθους ἐκ τῆς ἀνατολικῆς ὠκεανῆς ἀναπίμπτει. καλῶς ἤ εἶπε τὸ πρηλαύνεται. ὥσπερ γὰρ πρωθεῖται, ἐπεδὴ ὅτιν τὰ αὐτῆς βόρεια, ἃ εἶπε μὴ δύνεσθαι, διὸ καὶ ὀλίγον παντελῶς μένει χρόνον ἀπὸ τοῦ δείλοντα. τὸ δὲ σήθεος ἄχρι, δηλόνοτι τὰ ἄκρα αὐτοῦ ἄδυτα. τοῦτο δὲ μόνον αὐτῆς τὸ ἄχρι σήθους, καὶ δύνεται καὶ ἄνεσιν.

Ἡμος καὶ μεγάλοιο λιμός.) τοτίνι πᾶσα φησὶν καὶ τοῦ σειείου αἱ λαμπηδόνες δύσιν φέρουσι, ὅτι ὁ τοξότης ἀναβήναι. μεγάλοιο ἤ ἔπεν ἀμαρυγὰ, δεῖ τὸν σείειον αὐτῆς ἀστέρα, καὶ τὸ πᾶν σῶμα τοῦ ὠρίωνος δεδυκέναι, πολὺ τοῦ δεξιᾶς χειρός. ἀνεχομένου γὰρ τοῦ τοξότου, τὰ τοῦ ὠρίωνος πάντα δύνειν, πολὺ τοῦ δεξιᾶς χειρός. αὕτη γὰρ μένει ἐς βορεωτέρα. Πάντα γεμεῖν ἀτέλεσα.) τὸ πρόπλεον αὐτοῦ ἀσίν, ὅτι λαγωὸς καὶ ὁ κύων, ὥστε προανατέλλει ἀεὶ τοῦ λαγωοῦ καὶ προκαταδύνει, καὶ μηδέ ποτε ἑτέρως ἔχει, ὡς ἐν ἄλλῳ. τὸ ἤ ἀτέλεσα, ἐπεδὴ ἀδέποτε καταλαμβάνει ἀπὸ τοῦ κυνός. ἔτι γὰρ καθεύδεται, ἀπὸ τοῦ κυνὸς δεῖ πόμῳ. Ἀλλ' οὐ κυνιόχῳ ἔριφοι.) οὐ ἔριφοι καὶ ἡ αἶξ κατὰ τὴν χεῖρα τοῦ κυνιόχου, σημεῖα καὶ χειμῶνος φέρουσιν, ὅταν ἐστὶν εἴαρ δύνειν ποιῶνται, ἡ μέχρι ἀνθῶν δύνουσι, ἀπὸ

τὰ ἢ πρὶν τὴν κεφαλὴν τοῦ ἡνιόχου, καὶ τὴν χεῖρα τὴν ἑτέρην, καὶ τὴν ἐξὼ τῶν αἰγοκέρωτι κατέρχεται. τὰ δὲ λοιπὰ τῶν ζῳδίων τῇ ἀνατέλλοντι, ὁ μηνίζει πρὸς ὅλως ἄπαν τὴν γόνατος καὶ τοῦ δεξιοῦ ποδὸς δεινά, καὶ τῆς ἀρκτοῦ ἡ περιφέρεια κατὰ πρύμναν. αὐτὴ δὲ ἡ ἀρκτὸς ἅμα αἰγοκέρωτι ἀνιόντι κατέρχεται, καὶ ὁ προκύων. ἀνατέλλουσι δὲ, ὅτε λύκος, καὶ ὁ ἀετὸς, καὶ ἡ λαλούμενος ὀϊσύς, καὶ τὸ θυτήριον.

Εὐθὺς ἀπέρχονται. τὰ δ' ἐ οἱ μεγάλῳ ἀνὰ χεῖρα
Λάμπουσι, καὶ οἱ μελέων δ' ἀκέκριται ἄλλων
Κινῆσαι χειμῶνας, ὅτ' ἠελίῳ σωίωσιν.
Ἀλλὰ τὰ μὲν, κεφαλῇ τε καὶ ἄλλην χεῖρα καὶ ἐξὺν
Αἰγόκερως ἀνιὼν κατάγει, τὰ δὲ νέατα πάντα
Αὐτῷ πρὸς θυτῆρι κατέρχεται. οὐδ' ἔτι πρῶτος,
Οὐδ' ἔτι ἄκρα κόρυμβα μολεῖ πολυτειρέος ἀργοῦς.
Ἀλλ' ἤτοι πρῶτος μὲν, ἄτερ γουνός τε ποδός τε
Δεξιτεροῦ, δύεται. πρύμνης δ' ὅλμος ἐς πόδα γήρ.
Αὐτὴ δ' αἰγοκερῆϊ κατέρχεται αὐτέλλοντι.
Ἡ μος καὶ προκύων δύεται. τὰ δ' αὖ ἔρχεται ἄλλα,
Ὄρνις τ', αἰκτός τε, τάτε πτερόεντος ὀϊσοῦ
Τέρεα, καὶ νοτίου θυτηρίου ἱερὸς ὕδρη.
Ἵππος δ' ὑδροχόοιο νέον πόρι τελλομένοιο
Γουνάσι τε καὶ κεφαλῇ αἰτέλλεται, αὐτίκα δ' ἵππου
Ἐξ οὐρῆς κενταύρου ἐφέλκεται ἀστερίη νύξ.
Ἀλλ' οὔ οἱ δύνανται κεφαλὴν, οὐδ' ὀλυρὰς ὤμους
Αὐτῷ σὺν θώρηκι χαδεῖν. ἀλλ' ἄιθοπος ὕδρης
Αὐχένι κατάγει πτέρυγα, καὶ πάντα μέτοπα.

Μεγάλῳ ἀνὰ χεῖρα.) ἔλεγον φασὶν τὴν χεῖρα ταύτην βλαφερὸν διαφορᾶν, πρὸς τὸ λοιπὸν σῶμα τὸ ἡνιόχου. κατὰ γὰρ τὴν ἐῶαν ἀναζωλῶν τῆς αἰγὸς καὶ τῶν ἐρίφων, χαλεπώτατος χειμὼν γίνεται.

Καὶ οἱ μελέων.) οἱ ἔειφοι διακριτικοί εἰσιν ἀστέρες ἐν πᾶσι ζῴοις τοῦ ἡνιόχου ἄστρασιν, ὡς εἶναι κανὼν πρὸς τὸ λυῆσαι χειμῶνα, ὅταν συὶ τῷ κλίᾳ ὦσι καὶ πορεύοιντο. διοκεῖ γὰρ μὴ εἶναι ἀληθές. οὐ γὰρ γίνεται πλησίον τῆς αἰγὸς καὶ τῶν ἐρίφων. μᾶλλον δὲ τοῦ ἡνιόχου, χειμὼν, ὅτι τῷ ταύρῳ ἢ τῷν διδύμων θατέρῳ δῦσιν, ἀλλὰ φαμὲν ὅταν ὁ ἥλιος κίῃ τῷ ζῴῳ κατὰ τὴν τάξιν αὐτὴν, ὦ ναῦ δύκηκέμεθα, ἰάσον ἀνατέλλοντος ἐκείνου, ἰῶσι αὐτοὶ δύονται, καὶ χειμὼν ἄκρος ἐτίν. ἔχουσιν οὖν τινα πρὸς τὸν ἥλιον διοινωνίαν ἐκ τῆς καρδῆς, διὰ τὸ ἐῶον, ὅτι ὁ μὴ ἀνατέλλει, οἱ δὲ δύουσιν.

Ἀλλὰ τὰ ἢ κεφαλήν τε.) ἀτελεῖ τοῦ ζῳδίου, οὐχ ὁ πᾶς ἡνίοχος ἐς δυσμὰς φέρεται, ἀλλ' ἀπὸ πολλῶν μέχρι ἰξύος. ἀκρωμένου δὲ αἰγοκέρωτος, ἡ ἄκμη χεῖρ, ἐφ' ἧς εἰσὶ οἱ ἔειφοι. δύεται λέγει ἡ τῶν ἀστέρων. ἡ γὰρ δεξιὰ ἤδη δέδυκε. τὰ δὲ ἔρχεται μέρη τοῦ ἡνιόχου, τὰ ἀπὸ πολλῶν ἕως

ἰξύος

ἐξυθ, σὺν ὧν ζῷ ὅτῃ ἀνιόνλι ἐς λυσμὰς καταγιτῷ. Οὐδέτι πρδσὺς.) μίκμον τοῦ δὲ αἰγοκέρωτος ἀνιγῶν, οὔτι ὁ πρεσὺς, οὔτε τὸ ἀκροσύλιον τ ἀργῶας πρύμνης ἔτι φαίνετῷ. ἀλλ ὁ μὲν πρδσὺς δυσὶ, πλὴν μόνε τοῦ γόνατος, καὶ τοῦ ποδὸς τοῦ δεξιοῦ. ταῦτα γὰρ ἔχει φανόμενα. τῆς δὲ ζῷῦζε δὲ λυκεν, ὅδε ἐς τὴν περίπλασιν καὶ λαμπὴν τῆς πρύμνης. Αὐτὴ δὲ αἰγοκερῆι.) αὐτὴ ἡ πᾶσα ἡ ἀργὼ ἀνατέλλοντος αἰγοκέρωτος λάτασυσιν, ὅτε καὶ ὁ προκύων ἐς λυσμὰς φέρεται. ἀνατέλλοντος γὰρ αὐτοῦ, αὐτίκα δυσὶ ὁ λύων, καὶ ὁ ὠρίωνὄδος, καὶ ὁ λαγωός. ὃν ἀτέλεια δυσκόμβρον ἔπτε πτδανῶς πάνυ. ἀμετακίνητος γὰρ ἡ τῶν ἄστρων θέσις. δύνει ἡ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος τοῦ ἡνιόχε, ἡ ἀριστερὰ χεὶρ δυσκαδὴ, ἐφ' ἧς κατεσήρεκται ἡ αἴξ καὶ οἱ ἔριφοι. Ἱππος δὲ ὑδροχόοιο.) ἵππος δὲ τοῦ ὑδροχόε ἐπιτιθεμένου, ζῶις ποσὶ καὶ τῇ κεφαλῇ ἀνατέλλει καὶ ἀνατέλλα. Αντία δὲ ἵππε.) κατὰ διαμέτρον δὲ τοῦ ἵππου κατ' οὐρὰν ὁ λιγύαυρος δυσὶ. ὁ δὲ λόγος, δυσὶ δὲ κατ' οὐρὰν καὶ ὁ λιγύαυρος. οἱ μιγνύοι ὦμοι αὐτοῦ καὶ ἡ κεφαλὴ καὶ ὁ θώραξ οὐκ δυσὶ κατὰ ἅμα τῷ ὑδροχόῳ καταφέρεται. ἀποβλέπων δὲ ἐς τὴν θέσιν, ποικτικόν ἐστι, λέγων ἔλκοντος αὐτὸν ἡ νύξ, οὐ δυσὶ κατὰ αὐτοῦ τὴν κεφαλὴν καὶ τοὺς ὤμους σὺν τῷ σήθει χωρῆσαι καὶ λαβεῖν. ἀλλ' ἀέθοπος ὕδρης, δι' ἀπύρος ἡ ὕδρα, ὅτι ἐπὸ τὰ θεινὰ ζῴδιά ἐστι. ταύτης οὖν τὴν τῇ αὐχένος στέρησιν καὶ τὰ μέτωπα καταφέρει. τὰ μιγνύοι πλέω αὐτῆς ὑπὲρ γῆν ὄντα. ἀναφερομιγνύω δὲ τῶν ἰχθύων, συνκατα φέρεται ἅμα λιγυταύρῳ. ἄθοπα δὲ αὐτὴν φησιν, ἢ διὰ τὸ ἐὲν πλησίον τῶν θεινῶν ζῳδίων, ὡς ἔφην, ἢ διὰ τὸ λαμπρὸν τῶν ἀστέρων αὐτῆς, ἢ διὰ τὸ δάκνον. ἐὰν γὰρ δύξῃ, ὠσανὰ καίει.

Ἡ δὲ καὶ ἐξόπιθεν πολλὴ μένει. ἀλλ' ἄρα καὶ τὴν
Αὐτῷ λιγυταύρῳ, ὁπότ' ἰχθύες αὐτέλλωσιν,
Ἀθρόον ἐμφέρεται. ὅδ' ἐπ' ἰχθύσιν ἔρχεται ἰχθὺς
Αὐτῷ κυανέῳ ὑποκείμενος αἰγοκερῆι,
Οὔτι γ' ἄδην, ὀλίγον δὲ δυωδεκάδα μένει ἄλλην.
Οὕτω καὶ μογεραὶ χεῖρες καὶ γοῦνα καὶ ὦμοι
Ἀνδρομέδης δίχα πάντα, τὰ μὴ πάρος, ἄλλα δ' ὀπίσω
Τείνεται ὠκεανοῖο, νέον ὁπότε προγένωνται
Ἰχθύες ἀμφότεροι. τὰ μὲν οἱ κατὰ δεξιὰ χειρὸς
Αὐτοὶ ἐφέλκονται· τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει
Κριὸς ἀνερχόμενος. τὸ καὶ πόδε τελλομένοιο
Ἑσπερόθεν κεν ἴδοιο θυτήριον. αὐτὰρ ἐν ἄλλῳ
Γερσεὸς αὐτέλλοντος ὅδε κεφαλήν τε ὤμους.
Αὐτὴ δὲ ζώνη καὶ κ' ἀμφήρισα πέλοιτο
Ἢ κριῷ λήγοντι φαείνεται, ἢ ἐπὶ ταύρῳ
Σὺν δὲ πανσυδίῃ αὐτέλλοσεται. οὐδ' ὅγε ταύρου
Λείπεται αὐτέλλοντος, ἐπεὶ μάλα οἱ σεσαρηρὼς

Ἡ δὲ καὶ

Η δὲ καὶ ὑπόπιθεν.) ἃ καὶ τὰ πρῶτα μέρη δίδυκε τῆς ὕδρας, ἀλλὰ καὶ ὄπισθεν πολύπους ἐκτεταμένη φαίνεται, κέρασι τὰ ὄπισθεν αὐτῆς μέρη. ἀλλ' ὅμως καὶ αὐτοῖς πᾶσιν τοῖς ὕδραν, σὺν πάντι λιγυπαύρῳ, ἐπεσλὰν οἱ ἰχθύες ἀνατέλλουσιν, ἀθρόως ἐμφέρεται. ὁ δ' ἐπ' ἰχθύσιν ἔρχεται καὶ φαίνεται, ὅλον ὀπίσω τοῦ αἰγοκέρωτος λινέεται νότιος. ἀποκέμψας δὲ, κέρασι ἀποκάτω λέμβος τ' αἰγοκέρωτος, πολὺ καὶ ἀπὸ κάτω τῶν ἰχθύων. δύο γὰρ ζώδια ἐπίκεται.

Οὐ μὲν ἄδικον.) κέρα δὲ μὴ πάντῃ, καὶ δὲ ὅλον ἀνέρχεται ὁ ἰχθύς. ἐκδέχεται γὰρ κατὸ ὀλίγον ἄκρον ἄστρου ἀνατολήν. λέγει δὴ ὅτι αὐτῶν τῶν ἰχθύων ἀνιτλόντων, οὐ πᾶς φανερὸς γίνεται. τῶν οὖν ἰχθύων ἀναφερομένων, ἀναφέρεται καὶ ὁ νότιος ἰχθύς, ἀπὸ τοῦ αἰγοκέρωτος λέμβος, ἐκ ὅλου. μέρη γὰρ αὐτοῦ, τοῦ ἑξῆς δίδυκατημορίου συναφέρεται τοῦ κείου. Οὕτω καὶ μογεραὶ χεῖρες.) κακοπαθεῖς φησι τὰς χεῖρας τῆς ἀνδρομέδης, διὰ τὰ δεσμὰ ἃ πρίκεται. ὥσπερ δὴ ὁ ἰχθὺς οὐκ ἄπας ἄνεισιν, ἀλλὰ ἄκρον ἄστρου ἐπιτολὴν προσμένει, τοῦ τίνει τοῦ δίδυκατημορίου, οὕτω καὶ ἡ ἀνδρομέδη. καὶ ὅπως λέγει, ὅτι πάντα τὰ μέρη αὐτῆς τὸ σῶμα τοῦ δικῶς ἀνέρχεται, ὥστε τὸ μὲν ἥμισυ αὐτῆς ὑπὲρ τὸν ὁρίζοντα θεωρεῖται, τὸ δὲ ἥμισυ συνκαταλέπεται.

Τὰ μὲν οἱ κατὰ δίξιά.) τὰ μὲν οὖν δεξιὰ μέρη αὐτῆς τ' ἰχθύων ἀνατιλόντων ἀναφέρεται. τὰ δὲ ἀειτερὰ ὁ κείος ἀνιὼν, ἕλκει. οὐ ἀνιόντος, κατὰ διάμετρον θεωρεῖται ἐπὶ τῆς δύσεως τὸ θυτήριον. τοῦ δὲ πτερύγος, καὶ τὴν κεφαλὴν καὶ τοὺς ὤμους ἀνατέλλοντας. Καί κ' ἀμφήειπε.) ἐπεδὴ πλησίον εἰσὶν ἀπήλων τὰ ζώδια ταῦτα, ὅ, τι κείος καὶ ὁ ταῦρος, φησὶν ὅτι ἀμφίδολον ἂν γένοιτο, πότερον καὶ αὐτὴ ἡ ζώνη λήγουσι τῷ κείῳ συνανέρχεται, ἢ τοῖς πρόσθεν μέρεσι τοῦ ταύρου. ὅλως μεγάλοι γὰρ ὑπέρκειται γίνεται, τοῦ ταύρου ἀνατέλλοντος. οὐδὲ ὅτι ταύρου λέπεται, οὐ δὲ ὁ κείος ὑπερεῖ τόνε, ἀλλὰ συνανατέλλει τῷ ταύρῳ, ἐπιβιβάκκοις αὐτοῦ τῷ ἀειτερῷ κέρατι. καὶ οὐδαμῶς ἀνιόντος τοῦ ταύρου, ὁ κείος ἀπολέπεται.

Ἠνίοχος φέρεται. μοίρῃ γὰρ μὲν οὐκ ἐπὶ ταύτῃ
Ἀθρόος αὐτέλλει. δίδυμοι δ' ἐμὲν οὖλον ἄγουσιν.
Ἀλλ' ἔριφοι λαιοῦ τε θέναρ ποδὸς ἀγχὶ σὺν αὐτῇ
Ταύρῳ συμφορέονται, ὅτε λοξήκτε καὶ οὐρὴ
Κήτεος ἀιθερίοιο πρηαιόθεν αὐτέλλωσι.
Διὰ δ' ἀρκτοφύλαξ ἤδη πρώτῃ τότε μοίρῃ,
Τάων, ἁι πίσυρες μὲν ἄτερ χερὸς κατάγουσι
Λαιῆς. ἡ δ' αὐτοῦ μεγάλη ποτέλλεται ἄρκτος.
Ἀμφότεροί τε πόδες, κατεδυομένου ὀφιούχου
Μέσφ' αὐτῶν γονάτων δίδυμοις ἐπὶ σῆμα τετύχθω
Ἐξ ἑτέρης ἀνιοῦσι. τότ' οὐκέτι κήτεος οὐδὲν
Ἕλκεται ἀμφοτέρωθεν. ὅλον δ' ἐμὲν ὄψεαι ἤδη.
Ἤδη καὶ ποταμοῦ πρώτης ἑλὸς ἐξανιοῦσαν
Καμπὶ γὰρ καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,

Αὐτὸν

Αὐτὸν ἐπ' ὠρίωνα μένων, εἴ οἱ πόθι σῆμα
Ἡ νυκτὸς, μέτρον γ' ἢὲ πλόου ἀγγείλειε.
Πάντῃ γὰρ τάγε πολλὰ θεοὶ αὔδρεσι λέγουσι.

Μόιρη γὰρ μιν.) οὐχ ἅπας φησὶν ἅμα ἀνατέλλει ὁ ἡνίοχος τῷ ταύρῳ. μοῖραν γὰρ τὸ ζῴδιον ἔπεν, ἤγουν τὸν ταῦρον, ἀλλ' ὅλον τὸν ἡνίοχον οἱ δίδυμοι ἀνάσσουσιν. οἱ μὲν οὖν ἔειφοι καὶ ἡ αἴξ, καὶ τὸ θέρος τῶ ἀστέρος πόδες, ἅμα τῷ ταύρῳ ἐπανατέλλεται. ὁμοίως δὲ καὶ τοῦ λέπτους, ἥτε λοφιὰ καὶ ἡ οὐρά. καθ' ὃν δὲ καιρὸν συμβέβηκε τοῦ λέπτους τὴν τε λοφιὰν, καὶ τὴν οὐρὰν ἐκ τῶν νοτίων μερῶν ἀνατέλλειν, τότε δὴ καὶ ὁ ἀρκτοφύλαξ ἄρχεται μετὰ τὸ πρότου ζῳδίου δύειν, τουτέστι τοῦ σκορπίου, ὃς ὄπιν κατὰ διάμετρον τῷ ταύρῳ. ἔπομαι δὲ πρῶτον, ὅτι ὁ ἀρκτοφύλαξ ἐν τέτρασι μοίραις δύεται, ἤγουν ἐν τέτρασι ζῳδίοις. κατὰ διάμετρον τοίνυν ἄρχεται τότε δύειν, ἀνελθόντος λοιπὸν, ὅτι αἱ χηλαὶ δύουσι. πρώτη γὰρ μοῖρα τῆς τοῦ βοότου δύσεως, αἱ χηλαί. αἱ δὲ τέσσαρδε μοῖραι, χηλαὶ, σκορπίος, ζυγὸς, αἰγόκερως, κατάγουσιν ἐπὶ δύσιν ἄνου χαρὲς τὸν βοότην. ἄδυτος γὰρ αὐτοῦ ἡ χὲρ, ἐπεὶ δὴ τὸ ἀρκτικοῦ ὅτι ἔνδυον. αὕτη γὰρ ἡ λαιὰ ὠτοῦ χὲρ, πλησίον ὄπιν τῆς μεγάλης ἄρκτου. Αμφότεροι τὴ πόλις.) οἱ ἢ ὀφιούχου πόδες μέχρι γονάτων καταδυόμενοι, ἔσωσάν σοι τὴν μνήσιον τῶν δεδυμένων ἀνιόντων, καθ' ὃν καιρὸν καὶ ὅλον τὸ λέπτος ὑπὲρ τὸν ὀείζοντα θεωρεῖται, ἅμα σὺν αὐτῷ, ἡ ὁ ἠριδανὸς ποταμὸς κατασεισμῷ, ἀπὸ τὸν ἀστέρος πόδα τὸ ὠείωνος. τὸ δὲ λέπτος οὐδὲν ἕλκει, ἤγουν τῶν δεδύμων ἀνιόντων οὐδὲν τοῦ προειρημένου λέπτους ἔτι ἕλκει ἐπ' ἀναζολὰς, ἀλλ' ὅλον ἤδη ἐπὶ τὸ φανερὸν ὄπιν. τὸ δὲ ἀμφοτέρωθεν, ἤγουν οὔτε δὴ ἀναζολῶν οὔτε δύσεων. Ηδη καὶ ποταμοῦ.) τότε τοῦ ἢ ποταμοῦ πρώτου λαμπροῦ ἐν λαιαθαρῷ καὶ ὀυδείῳ πελάγει ναύτης ἀφορῶν ἴδοι ἄν. ἐξήκται δὲ δὴ ποίαν αἰτίαν ἐν τούτῳ μόνον αὐτοῦ ἐμνήσθη, καὶ φαμὲν ὅτι ἐπεὶ δὴ ἐπάγει τὸν ὠείωνα, πῶς ὃν μάλιστα ἀφορῶντες πλέουσιν οἱ ναῦται. ἐπὶ δὲ τοὺς ἢ ὠείωνος πόδας αὐτός ὄπιν, δὴ ζῶτο αὐτοῦ ἐμνήσθη. Αὐτὸν ἐπ' ὠείωνα μένων.) ἤγουν ἐκδεχόμενος. οἱ γὰρ ναῦται δυώδεκα ἐν αἰθερίῳ κατασήματι ταῦτα τὰ ἄστρα ἐπιτηρεῖν τε, καὶ μάλιστα τὸν ὠείωνα τὴν μάρκαθη πόδων τῆς νυκτὸς ἐπιλείπεται μέρος, καὶ πόδων διάστημα πεπλεόνασεν. ἐδόντος γὰρ τοῦ ἢ ποταμοῦ αἰλαμπὴν, καταγνόουσιν ὅτι λοιπὸν ὁ ὠείων ἀνατέλλει. ἢ δὲ ὠρίων φανεύτος, γνάδονται πόσην τῆς νυκτὸς ὄπιν ὥρα. παραχρὴ γὰρ ἐν παντὶ τῷ οὐρανῷ, ταῦτα τὰ δὴ ἢ ἄστρων τεκμήρια οἱ θεοὶ πρέχουσιν.

Εἴ οἱ πόθι σῆμα.) ἐὰν ποτε αὐτῷ ἢ νυκτὸς σημεῖον, ἢ πλοῦ μέτρον ἔποι. τὴν μαίρεται γὰρ ἀφ' τοῦδε τοῦ ἄστρου ἀνατέλλοντος, πόδων πλοῦν πρδιώσει, δυόντος τοῦ σισκμεωμένου ἀστέρος, οἷον ἐς τὴ ἂν δύῃ ὁ δεῖνα ἀστὴρ, ἡμεῖς ἀποπλεύσομεν ἐς τὸν δεῖνα τόπον. ἢ τοὐναντίον, ἂς τὴν ἂν ὁ δεῖνα ἀστὴρ μέλλει ἀνατέλλειν, τόδε ἴσαι. παρασκμδοῦνται γὰρ αὐτοὺς ὡς ἔφημεν, ἕως ἂν δὴ τὰ περὶ τῶν ἄστρων, ἤγουν τῶν φανομένων.

Οὐχ ὁράας, ὀλίγῃ μὲν ὅταν κεράεσι σελήνη
Ἑσπερόθεν φαίνεται, ἀξομένοιο δεδίασκε

Οὐχ ὁράας.) διαπεφευγότες ἡμῖν, καὶ πλη-
ρώσας τὸν περὶ τὴν ὥραν καὶ τῆς τῶν ἄστρων
καταλήψεως λόγον, ἔρχεται ἐπὶ ἄλλο βι-
βλίον σφόδρα βιωφελές, ὃ καλεῖται διοσκε-
μεία, καὶ βουλεται περὶ σελήνης διαλαβεῖν.
ἀφ' οὗ τοιοῦ τῆς σελήνης χρήματος, καὶ ἀφ' τῶν τὴν ἡλίου ἀκτίνων, δικαίοι ἡμῖν
εἶεν καὶ μὴ χειμῶν. ἔδοξε δέ τισιν ὅτι τὸ
οὐχ ὁράας πρόσωπον ὄν, πρός τινα ἀνα-
φέρεται, πρὸς ὃν ὁ Αρατος διαλογόμενος,
προσομιλεῖται, ἀγκαλείδην καλούμενον. καὶ
νόκτων δέ, ὅτι οὐχ ὡς προσφανῶν τινι, ὡς
ἑαυτέρῳ ἐχρήσατο προσώπῳ, ἀλλὰ ποικι-
κῶς ἔθεν οὕτω τὸν λόγον ἐχματίσατο. καὶ Ομη-
ρος, ἔνθ' οὔκ ἄν βρίζοντα ἴδοις. καὶ πα-
φόκλεις ἐπεῖν, καὶ οὐ ἡ σέθεν μενέναι. διὰ
γὰρ τὸ ἰδίωτον ἔθος ἐγγίνεται ἔσις ἐπικλεί-
νοις. Ολίγα μεν.) παρατὴ διὰ πολλῶν
παρασῆσαι, ὅτι πολλὰ τιμήσεις ἡμῖν οἱ
θεοὶ παρέχουσι, καὶ οὐ μόνον δὲ ἡλίου καὶ
σελήνης, ἀλλὰ ἤδη καὶ ζώων καὶ ἑρπετῶν,
καὶ φυτῶν, καὶ ἄλλων παντοίων, δείκνυς
ὅτι διὰ πάντων προνοοῦνται ἡμῶν οἱ θεοί.
ἄρχεται οὖν τὰς τῆς σελήνης φαύσεις ἐκ-
τιθέναι. καὶ φησὶν ὅτι μετὰ τὸν τοῦ ἡλί-
ου δύσιν ἐπὶ τῆς ἑσπέρας, ἐὰν φανῇ μη-
νοειδὴς καὶ λεπτὰς τὰς κεραίας ἔχουσα, αὔ-
ξησιν τὴν αὐτοῦ φωτὸς ἐπιδείκνυται. ὅταν
δὲ ἄρχεται σκιὰν τὴν σωμάτων ἀποτελεῖν,
τὴν φάσιν τοῦ μηνὸς σημαίνει. ὅταν δὲ εἰς
ἡμικύκλιον διαρῶσι, διχότομος ὀνομά-
ζεται, καὶ μοῖραν ἐπέχουσα. πλήρης δὲ γνω-
μονικῆς, πανσέληνος καλεῖται. ἐντεῦθεν
δὲ πάλιν μειουμένη τὸν φωτί. πολλὰς ἀλ-
λάσσει φύσεις, καὶ λαθ' ἑκάστην φαῦσιν αὐ-
τῆς ἐπινοίας λαμβάνομεν τῶν τοῦ μηνὸς
ἡμερῶν. ἡ μὴν γὰρ ἀμφίκυρτος, ἑνδεκάκις
δικαίοι διχότομος ἡ γνωμονική, καὶ
β, ἢ κγ. μετὰ δὲ τὴν διχότομον λεπτὰς
πάλιν ἔχουσα καὶ μηνοειδεῖς τὰς κεραίας,
δικαίοι τὰς ἐπὶ ἄνατολὴν ἡμέρας, εἶτα δυσδε-
κάτου τὸν ἥλιον, καὶ περιφερομένη ὑπ' αὐ-
τοῦ, ἀφανὴς γίνεται ἡμέρας δύσι καὶ μοί-
ρας ὀλίγας. τὸ δὲ ἑξῆς οὕτως, οὐχ ὁρᾶς ὅ-
ταν ἀφ' δύσεως ἡ σελήνη φαίνεται, αὐξα-
νομένου μηνὸς, ἤγουν τοῦ φωτὸς, σημεῖον
δυδάσκει. δὶ δὲ ἡμέραν, ὅταν πρῶτον ἀπο-
βάλῃ σκιὰν ἀφ' τῶν σωμάτων ἡμῶν.
καὶ δὲ, ἡμιλάμπτου ὄντος τοῦ φωτός. διχο-
μηνίαν δὲ, πανσέληνον πᾶν τὸ ἐν αὐτῇ
πρόσοπον καὶ πλήρες φωτὸς ἔχουσα. τὸ οὖν
ἑσπερόθεν φαίνεται, ἤγουν ὅτι φαίνεται
ἀφ' τῆς ἑσπέρας. ἑσπέραν δὲ, τὸν ἀπὸ γῆς
τόπον καλεῖ. ἀποδόσα γὰρ ἡ σελήνη ιβ
μοίρας, τίκτεται. Ἰέον δὲ ὅτι μεῖα καὶ
εἴας ἔπεγον οἱ ἕλληνες τὴν χρόνον, τὸν ἀφ' ἑ-
σπέρας καὶ ἕως ὀδόντος, παρὰ τὸ μένειν ἢ πα-
ρὰ τὸν μήνα μῆνα ὀνομάζουσιν. ἐμέ-
φρουν γὰρ οἱ ἕλληνες τοὺς μῆνας, πρὸς τὸν τὴν
σελήνης δρόμον. αἰγυπτίοι δὲ, πρὸς τὸν τὸν
ἡλίου. ἀφ' δὲ γένους φέρεται ἡμέραν ἄγου-
σα ἡ σελήνη, μηνοειδεῖς κατὰ τὸ χρῆμα τὴν
φωτὸς καλεῖται, νείκα λεπτὸν φῶς ζῶς κέ-
κρασιν ἐπιφέρεται. ὀγδοάς δὲ οὖσα, διχότο-
μος ὀνομάζεται, ὅταν τοῦ κύκλου αὐτῆς
τὸ ἥμισυ φωτισθῇ. δικαταάς δὲ, ἀμφίκυρ-
τος, ὅταν ὡς διχοτόμῳ κυρτώσεις προσγέ-
νωνται φωτὸς, ὥστε πλέον, ἢ τὸ ἥμισυ τοῦ
κύκλου φωτισθῆναι. πάλιν καὶ δικαταάς
δὲ οὖσα, πανσέληνος καὶ διχόμηνος, πλη-
ρωθεῖσα ὡς φωτί. πᾶσα γὰρ ἐν σφαίρᾳ οὖ-
σα τὸ ἡλίου, διχαθέντα ἐν ἡμέραις, δι-
λοῖ τὴν μῆνα. ἐντεῦθεν λοιπὸν καὶ τὰ ἀνά-
παλιν, β ἀμφίκυρτος, β διχότομος. δεν-
τέρῳ μηνοειδεῖς, ἑπτὰ ἀραγιμαία. ἀφα-
νὴς γὰρ λοιπὸν γίνεται, ἀπὸ τὰς τὴν ἡλίου αὐ-
γὰς γνωμονική, ἔπειτα δυσδεκὴ, εἰνίκα ἐν-
τῶν αὐτῷ ἑωδίῳ τὰς αὐτὰς μοίρας ἔχει. ἐκ-
πεσδὰν δὲ τὴν ἰσομοιρίαν παρασχεῖν,
τότε πάλιν γνωνὰν φαμεν.

Μηνὸς, ὅτε πρώτη ἀποκίδνατο αὐτόθεν αὐγὴ,

ὅδε

Ὅθεν ἐπισκιάειν, ὧδε τέθρατον ἡμαρ ἰοῦσα,
Ὀκτὼ δ' ἐν διχάσι, διχόμενα δὲ παντὶ προσώπῳ,
Αἰεὶ δ' ἄλλοθεν ἄλλα παρακλίνουσα μέτωπα
Εἴρει ὁποσαίη μινὸς πόδι τέλλεται ἠώς;
Ἄκρα γε μὲν νυκτῶν κεῖναι δυοκαίδεκα μοῖραι
Ἄρχεται ἀξιέπειν, τὰ δὲ τῶν μέγαν εἰς ἐνιαυτόν.
Ὧρη μὲν τ' ἀρόσαι νειοὺς, ὧρη δὲ φυτεῦσαι.
Ἐκ δὲ διὸς ἠδὲ πάντα τεφασμένα πάντοθι κεῖται.

Ὅτι πρώτη.) ἐν τῆς ἀρχῆς τοῦ μικνὸς ζοῦσον ἄρχεται ἀποκιδναδὴ φῶς ἡ σελήνης, καὶ αὐγὴ ἀπ' αὐτῆς, ὅ ὅν ἀμυδρὰν σκιὰν ἡμῶν ἐπὶ τοῖς σώμασι ποιεῖν. ὅταν γὰρ πανσέληνος ᾖ, ἡνὶκ ὁλόκυκλος, τότε καὶ τὸ φῶς πλεῖον ἔχουσα, σκιὰ οὐκ μικρὰν ἡμῖν ἀποτελεῖ. ἐπὶ τέταρτον οὖν ἡμαρ, ζυτέσι τετάρταία γενομένη ἡ σελήνη, ἄρχεται διαύαδη σκιάζειν ἐν τῷ φωτὶ αὐτῆς. τριταία γὰ οὐ διαύατο, διὰ τὸ περικεκμένον τοῦ φωτὸς ἀφάνειαν. Οκτὼ δ' ἐν διχάσιν.) ὀκτὼ δὲ ἡμέρας ἄγει, διχότομος οὖσα. τὰ δὲ διχόμενα ἄγει, ἤγουν τὸ μέσον τῆ μινὸς, ὅταν ἐν παντὶ προσώπῳ, ἤγουν ἐν κύκλῳ πλεκρωθῇ φωτὸς, ζυτέσιν ὅταν ᾖ τετρακαιδεκαταία.

Αἰεὶ δὲ ἄλλοθεν ἄλλα.) διὰ πάντος ἦ, ἀπὸ λοχόθεν καὶ πολυπλασίως τὰ πλάτη τῆ φωτὸς ἐπικτένουσα, δικλοῖ καὶ λέγει ὁποῖα καὶ πόση δεῖν τῆ μινὸς ἡ ἡμέρα. προείπομεν δὲ, ὅτι τῆ μινὸς ἀὐ κατάληψεις ἐκ τοῦ φωτὸς αὐτῆς γίνονται, ἀεὶ ἄλλοθεν ἄλλα δεικνῦσα, πρόσωπα ἤγουν εἴδη, τουτέσιν ἐν πολλαῖς μορφαῖς γενομένη, εἴρει καὶ λέγει ἡμῖν, πόση ἡμέρα τῆ μινὸς ἀνατέλλει. Ἄκρα γε μὲν νυκτῶν.) περὶ ἡ δ' ἐν νυκτὶ τῶν ὥρῶν δια κείσεως, ἤδη προείπομεν. αὐτὴν δὲ τὴν νύκτα καὶ τὴν ἡμέραν, ἥτις δεῖ τῆ μινὸς ἑξῆς διελάσκει. μεῖα δὲ λέγομεν τὴ ἀὴ ζωόδου σελήνης καὶ ἡλίου χρόνον ἐπὶ σωόδου, ὃς δεῖν ἡμερῶν κθ. ἐπὶ δὲ τῶν ζειούτων ζωόδων ἡμέραν ἀκούε, τὴν ἐκ τῆς νυκτὸς καὶ ἡμέρᾶν χρόνον. ζούτῳ δὲ ζῶ μὲν ἐχρῶντο πρὸς τὴν τῶν πολιτικῶν ἡ μερῶν διαγωγὴν, καὶ νῦν ἔτι χρῶνται πολλοὶ τῶν ἑλλήνων. ἄκρα ᾖ νυκτῶν, ἡ ἐσπέρα καὶ ὄρθρος, ἅπερ ἱκαναὶ πρὸς τὸ σαφὲς διελῶσαι, αἱ δώδεκα μοῖραι τῶν ζωδίων δικλονότι. τὰ δὲ τῶ μέγαν εἰς ἐνιαυτὸν, τὸν κλιακὸν λέγει. οἱ γὰρ παλαιοὶ φύσα κόλιν μέτρα χρόνῳ, τὴν τῆς σελήνης περίοδον, τὴν ἑκάστην ὥραν τοῦ ἐνιαυτοῦ, καὶ τὴν κλιακὴν περίοδον. μέγισον δὲ τ' ἄλλων, ἡ κλιακή. ὅτι δὲ τὸν κλιακὸν χρόνον λέγει, δῆλον ἐκ ὧν ἀρότῳ καὶ φυτείας μνήμην ποιεῖται. ἡ δὲ διάνοια, ὁμοία τῇ τοῦ προοιμίου. ἐσκέψαζο δ' εἰς ἐνιαυτὸν ἀστέρας, ὅτι κε μάλιστα τετυγμένα σημαίνοιεν. τὰ δὲ ἰβ ζώδια, μόνον τὰ ἄκρα τ' νυκτῶν ποιοῦσι φανερὰ, ἀλλὰ καὶ τὴν τῶν ἐνιαυσιαίων καιρῶν διαφορὰν, ἱκανῶς διαφοῦσιν, ἔαρος δηλαδὴ, θέρους, μετοπώρου, καὶ χειμῶνος. διὰ γὰρ ζυτων καταλαμβάνομεν τὴν διαφορὰν τῶν κατὰ τὴν γεωργίαν ἔργων, σπόρου, φυτείας, ἀμήζου. τῶν ἄλλων ἀπάντων, ἐμβανεῖς ᾖ τοῖς βουλομένοις ἀκριβῶς προσέχειν τυγχάνουσιν, αὔτε ἀναζολὰ καὶ δύσεις τῶν ζωδίων, διὰ τὴν τοῦ θεοῦ πρόνοιαν. ὁμοία δὲ καὶ αὕτη ἡ διάνοια τῇ τῶ προοιμίου. ἐκ διὸς κδὴ πάντα, ἤγουν ἀπὸ τοῦ διὸς παρεδόθη τοῖς ἀνθρώποις, ἵνα οἱ μὲν πρὸς ἀντίληψιν τῶν κατὰ γεωργίαν ἔργων ἐφιλοτιμῶσιν, οἱ δὲ πρὸς ναυτιλίαν, φυλασόμενοι τὰς χειμερί

ους, ἀναζωπάς τε καὶ δύσεις τῶν ἄστρων, οἷον ἀρκτούρου, ἐείφων, αἰγός. ἀπότε τῆς ἐσώτερης σημείωσιν ποιούμενοι τὸ μέλλοντος, καὶ ἀφ' τοῦ ὄρθρου, ἤγουν ἀφ' τῆς ἑπάστης τῶν ιβ ζωδίων ἀναζωπῆς τε καὶ δύσεως.

ὁ γὰρ κύκλος ἐν τῇ ἐνιαυσιαίᾳ περιόδῳ διεξιὼν τὸν ζωδιακὸν κύκλον, κατὰ τάξιν εἰς ἕν ἕκαστον τ ζωδίων μεταβαίνει, διὰ ὄγμου τινὸς πορείαν αὐτοῦ ὠνόμασε. καὶ Ομηρος, ὄγμον ἐλαύνων.

Καὶ μήν τις καὶ νηῖ πολυκλύστου, χειμῶνος
Ἐφράσατ', ἢ δ' εἰνοῦ μεμνημένος ἀρκτούροιο,
Ἢ ἑτέων ἄλλων, οἵτ' ὠκεανοῦ ἀρόωντα
Ἀστέρες ἀμφιλύκης, οἵτε πρώτης ἔτι νυκτός.
Ἠοῖ γὰρ τοῦ πάντας ἀμείβεται εἰς ἐνιαυτὸν
Ἠέλιος, μέγαν ὄγμον ἐλαύνων. ἄλλοτε δ' ἄλλῳ
Ἐμπελάσει, τοτὲ μὲν τ' ἀνιών, τοτὲ δ' αὐτίκα δ' ἰών.
Ἄλλος δ' ἀλλοίην ἀστὴρ ἐπιδέρκεται ἠῶ.
Γινώσκεις τάδε καὶ σύ. τὰ γὰρ σωαείδεται ἤδη
Ἐννέα καίδεκα κύκλα φαεινοῦ ἠελίοιο.

Καὶ μήν τις καὶ νηῖ.) τὰ ἁπλανῆ φησι, δηλοῖ τοὺς καιροὺς, καὶ τεκμήρια δίδωσι τοῦ πλοῦ. καὶ γάρ τις καὶ νηῖ ἑαυτὸν δίδωκε, τ πολυκλύστου χειμῶνος ἐσκέψαιτο, τοῦ ἀρκτουρεῖ μνημονεύσας. οὐκ ὀλίγη γε κ χειμερινὴ αὐτοῦ δύσις ἐστί. τοῖς γὰρ χηλαῖς συγκατέρχεται, ὡς σκορπίῳ, ὡς ζῴῳ, καὶ ὡς αἰγοκέρωτι, ὥστε τετράμηνος ὅστιν. ἔμαθεν οὖν περὶ τοῦ ἐλθμεγέθους χειμῶνος ὁ ναυτίλος, ἢ τ δεινοῦ ἀρκτουρου μνημονεύσας, ἤγουν τοῦ βοώτου. ἀφ' μέρους γὰρ τὸ πᾶν, ἢ τινῶν ἄλλων ἀστέρων, οἵ τινες δὴ ὠκεανῦ ἀρόωντι, ἤγουν ἀνατέλλουσι. δεινὸν δὲ τὸν ἀρκτοῦρον εἶπεν, ἢ δηλ τὸ λαμπρὸν, ἢ μᾶλλον δηλ τὸ χειμερινόν. ἀμφιλύκην δ' τὴν ἀναζολὴν φησιν, δηλ τὸ τὸν λύκον ἀνακεῖθαι ὡς ἀπόλλωνι. ὡς γὰρ ἐκεῖνος μακρόθεν ὢν, ὁρᾶν δυνάται. οὕτω δὴ καὶ ὁ λύκος ὀξυδερκὴς ὅστιν, δηλ δὴ τὸ ὀξυδερκὲς αὐτοῦ, προσήρμοσεν αὐτὸν ὡς ἀπόλλωνι. ταύτῃ δὴ καὶ λυκόφως, τὴν αὐγὴν λέγουσιν, ἤγουν ὅταν ὁ λύκος θεᾶται. τὸ δὲ ὄγμος, σημαίνει μὴ ἐνεῖναι τὴν τάξιν τ θειζόντων, ὅπου ἀμῶντ. σημαίνει δὲ καὶ τὸν μεταξὺ δύο φωτεῖων τόπον ἀργὸν. ἐπεὶ οὖν τὴν μέσην γραμμὴν τοῦ ζωδιακοῦ ὁ κύκλος πορεύετ. ἔχει δ' ὁ κύκλος ἅπας δύο ἑκατέρωθεν γραμμὰς, δηλ δὴ δὴ τοῦτο εἶπεν ὄγμον τὸν τοῦ ἡλίου κύκλον. Τότε μὴ τ' ἀνιών.) ἢ γὰρ ἀνατέλλων, ἰώας αὐτοῖς τὰς φαύσεις παρίχει, ἢ δύνων ἱστορείας. τὸ δ' αὐτίκα ἐπ' ἀμφοτέρων. ἢ γὰρ αὐτίκα ἀνιὼν μετὰ τὴν ἰῶαν τοῦ ἄστρου φαῦσιν, ἢ πρὸ ὀλίγου τῆς τοῦ ἄστρου ἱστορείας φαύσεως δεδυκώς.

Ἄλλοτε δ' ἀλλοίην ἀστήρ.) ἐφ' ἑκάστου ὁ κύκλος τ ἐν τοῖς μοίραις ἀστέρων ἔρχετ, οἷον σήμερον τυχὸν τῶν ἐπὶ α μοῖραν ζῳα νατέλλα, ἐκ οὖν τὸ ἑξῆς ὀπίτι σὺν αὐτῷ. ἔρχεται γὰρ ἐπὶ τὴν δευτέραν μοῖραν, καὶ ἐπιψαύει τοῦ ἀστέρος τοῦ ἐν τῇ β μοίρᾳ ὄντος, διὸ εἶπεν ἄλλος δ' ἀλλοίην ἐπιδέρκεται ἡμέραν σὺν ἡλίῳ ἀστήρ. ἢ ἄλλος κατὰ ἄλλην ἡμέραν τ ἀστέρων θεωρεῖτ, κατὰ τὴν ἰῶαν, δηλονότι ἀναζολὴν ἢ δύσιν, ἢ τινὰ τούτων. ἐπεὶ τοίνυν καθ' ἑκάστην ἡμέραν ἕκαστος αὐτῶν καὶ ἀνατέλλει καὶ δύεται, ὡς τοῦ κόσμου καὶ ἐν νυκτὶ καὶ ἐν

ἡμέρᾳ

ἡμέρᾳ ἀφ' σημείου ἐπὶ σημεῖον φερομένου.

Γινώσκεις τάδε.) Μέτων τίς γέγονε παλαιὸς ἀστρονόμος, ὃς ἀκριβῶς ἀεθμήσας, εἶπε μικρὸν ἐνιαυτὸν, ὡς πρὸς σύγκρισιν τοῦ μεγάλου, περὶ οὗ πρότερον εἴπομεν, ἤγουν ὅταν σύνοδος γένηται ἐπ' ἀπωλείᾳ τοῦ παντός. οἱ δὲ μετὰ Μέτωνα ἀστρονόμοι, καὶ πίνακας ἐν ταῖς πόλεσιν ἔθεσαν, περὶ τῶν τοῦ ἡλίου περιφορῶν τ' ἐνιαυσιαίων τηρεῖσθαι, ὅτι καθ' ἕκαστον ἐνιαυτὸν. ζιόσδε ἔσται χειμὼν, καὶ ζιόνδε ἔαρ, καὶ ζιόνδε θέρος, καὶ ζιόνδε φθινόπωρον, καὶ ζιόδε ἄνεμοι, καὶ πολλὰ πρὸς βιωφελεῖς χρείας ζῶσι ἀνθρώποις. ἐπεδείξαν δὲ καὶ ταῦτα ἐγνώσθη ἐκ τῶν πινάκων, καὶ αὐτὸς ἐκεῖθεν ἔγνω τὰ πολλὰ, ὁ Αρατος φησὶν ὅτι καὶ αὐτὸς γινώσκῃς αὐτά. πάλαι γὰρ ἀέδεται, καὶ ἄδεται, καὶ φανερὰ τοῖς ἔθνεσι γέγονεν. ἐδέξαντο δ' αὐτὰ ἔθνη τε παρ' αἰγυπτίων καὶ χαλδαίων. ποῖα οὖν δεῖ ταῦτα ἃ σημαίνεται, ἐπάγει, τὰ λύκια καὶ αἱ περιφοραὶ τοῦ ἡλίου, αἱ δεῖ ἑνιακαίδεκα ἐτῶν γενόμεναι. φησὶν οὖν ὅτι πάντας τοὺς ἀστέρας ὁ ἥλιος ἐπέρχεται καθ' ἕκαστον ἐνιαυτὸν, ἄλλοτε ἄλλῳ ἐμπιπλάζων. ὅτε μὲν ἀνιὼν, ὅτε δὲ καὶ δυόμενος. ἢ γινώσκῃς τάδε καὶ σὺ, ἀντὶ τοῦ γίνωσκε, οἰκειοῦν ἀντὶ προσακτικοῦ. σημαίνεται δὲ, ἤγουν πρόκειται. λύκια, ἐνιαυσίαι. ἐπιδυνεῖται, παρέρχεται. γινώσκει οὖν φησὶν, ὅτι ἀναλογοῦσιν ἀστέροις καὶ σύμφωνοι γίνονται οἱ τοῦ ἡλίου δρόμοι, δεῖ τε τῶν ἐπιθεωρούμενοι. ὁμοίως δὲ καὶ ἀναλυτὴ τ' ἀέρος ζώνης, μέχρι τ' παντελοῦς λύσεως αὐτοῦ. ἔτι γὰρ μὲν καὶ ἡ τοῦ κόσμου ἀναλυτὴ καὶ λύσις, δεῖ τ' ἴσον τῶν σύμφωνοι γίνονται. τὰς μὲν οὖν ἡμέρας τῶν ἑνιακαίδεκα ἐτῶν, ἀφ' τῆς τοῦ ἡλίου ἐνεργείας ἐπέδειξε. τὰς δὲ νύκτας ἀφ' τῆς τοῦ ὠείου ἀναλυτῆς τε καὶ λύσεως, δεῖ τὸ ἐκεῖνα τὰ ἄστρα κατακαλεῖ τοῖς ἀνθρώποις, ἐν τῇ νυκτὶ μάλα γίνεσθαι.

Ὅσα τ' ἀφ' ζώνης εἰς ἕκατον ὠρίωνα
Νὺξ ἐπιδυνεῖται, κοῦρατε θρασὺ ὠρίων.
Οἵτε τοσεσσάων δρόμοι, ἢ δίος αὐτοῦ
Ἀστέρες ἀνθρώποισι τετυγμένα σημαίνουσι.
Τῷ κείνῳ τεπόνηο. μέλει δ' ἔτι, εἴποτε νηῒ
Πιστεύεις, εὑρεῖν ὅσαπου κεχρημένα κεῖται
Σήματα χειμερίοις αὐέμοις ἢ λαίλαπι πόντου.
Μόχθος μὲν τ' ὀλίγος, τὸ δὲ μυρίον αὐτίκ' ὄνειαρ
Γίνετ' ἐπιφροσύνης ἀεὶ τεφυλαγμένῳ αὐδρί.
Αὐτὸς μὲν τὰ πρῶτα σαώτερος, εὖ δὲ καὶ ἄλλον
Παρειπὼν ὤνησεν ὅτ' ἐγγύθεν ὤρορε χειμών.

Οσα τ' ἀφ' ζώνης.) ὅσα φησὶν εἶναι τῆς ἀφ' τῶν παλαιοτέρων, ἀφ' τῆς ζώνης τοῦ ὠείου πάλιν εἰς αὐτὸν τὸν ὠείωνα τὴν νύκτα ἄστρα περιφέρειν. βούλεται δὲ περὶ πάντων λέγειν τ' ἀπλανῶν, καὶ ὅσα ἀφ' τοῦ κόσμου εἰς αὐτὸν τὸν κόσμον. προεῖπον γὰρ περὶ τῶν ἄλλων, οἱ πρὸς Αρά τον, Εὔδοξός τε καὶ Ιππαρχος καὶ ἄλλοι τινές. ἤρξαντο δὲ ἀφ' ὠείου, ὅτι ἐπόκειται κιαρκίνῳ, καὶ ὅτι μάλιστα εἰς αὐτὸν οἱ πλέοντες ὁρῶσι, καὶ ὅτι νότιός ἐστιν. ἐκ δὲ νοτίων μερῶν ἐκδέχονται ἀεὶ ἰσόμορφον χειμῶνα. ἢ γινώσκῃς, καὶ ὅσα ἄστρα ἀφ' τῆς ζώνης τοῦ ὠείου εἰς ἕκατον ὠείωνα, ὃ

δειν μέχρι τ ποδῶν αὐτοῦ, ἡ νὺξ ἐπιδιανεῖται. κατὰ κοινοῦ δὲ τὸ γινώσκεις. ἀρχὴ δὲ τοῦ ἐνιαυτοῦ δεῖν, ἡ τῆς ζώνης τοῦ ὠρίωνος ἐπιζολή. τέλος δ, τῶν ποδῶν αὐτοῦ ἡ ἐπιζολὴ τοῦ κυνός. εἰς φίαν δ αὐτοῦ διήκει ἡ ἐπιζολή, ὦμον, πόδα, ζώνην. Οἵ τε ποσὶ δίωνος ὀρώμενοι.) οὐ μόνον φησὶν ὁ ἀριθμὸς τῆς ἐννεακαιδεκαετηρίδος δεῖν εὔχρηστος τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τῶν λοιπῶν ἀστέρων αἱ παρατηρήσεις, τῶν τε ποσὶ δίωνος καὶ τῶν τοῦ διός. εἰσὶ δὲ ποσὶ δίωνος καὶ ἀστέρες, οἱ τὸν χειμῶνας καὶ τὰς ἀνδρίας δηλοῦντες. διὸς δὲ οἱ τὰ πρὸς γεωργίαν εὔχρηστα δεικνύοντες. ὅταν οὖν μέλλῃς πλαγίῳ δρόμῳ σαυτὸν ἐμπιστεύειν, πολυπραγμόνησον πρῶτον τὴν παρατήρησιν τ τὰς ἀνδρίας, ἢ τοὺς χειμῶνας δηλούντων ἀστέρων. κόπος μὲν γὰρ δεῖ τῷ βουλομένῳ βραχὺς τὴν τῶν σημείων μαθεῖν ἀκρίβειαν, ἡ δὲ ὠφέλεια πολλή. ἑαυτούς τε γὰρ σώζουσιν οἱ ἄνθρωποι, πρῶτον οἱ τὴν παρατήρησιν αὐτῶν ἔχοντες τῶν ἀναζολῶν, καὶ δύσεων τῶν ἄστρων, καὶ ζῶις ἄλλοις παραίτιοι γίνονται ἀσφαλείας, προμηνύοντες αὐζοῖς μελλούσας τοῦ ἀέρος ἐπισάσεις, ἐκ τῶν περὶ οὐρανὸν σημείων. Τῷ μεένων πεπόνηκε.) διὸ ἐκείνων τῶν ἄστρων τῶν βιωφελῆ χρείαν ἐχόντων ἐπιμέλειαν ἔχε, καὶ γίνωσκε καὶ μάνθανε αὐτούς. ὀλίγος μὲν γὰρ ἐκ τούτων μάκαρος, τυτέειν ἐκ δ μαθήσεως. πολὺ δ τὸ βιωφελὲς δεῖ τῶν ταῦτα πρατρεῖν τὶ ἀνδρί, ἐν τοῖς ἐπιφροσύναις καὶ λογισμοῖς. Μέλει δὲ ζοι.) περὶ δ ζούτων τ ἄστρων μελέτω ζοι, ὅς κε μνήμένα καὶ ἀσφαλῶς ἐρημένα περὶ πλῆθος δεῖν, ὅταν ἐν νηῒ σαυτὸν πιστεύῃς, καὶ μέλλῃς ὀρεῖν καὶ ὁρμᾶν, ἐπάνω τ κυμάτων δικλαδίν.

Πολλάκι γὰρ καί τίς τε γαλήνιον ἐκ νυκτὶ
Νῆα πόδεις ἔλκει πεφοβημένον ἠρι θαλάσσης.
Ἄλλοτε μὲν πρόχορον ἦμαρ ἐπῆ-χεν. ἄλλοτε πέμπον,
Ἄλλοτε δ' ἀπρόφαρον κακόν ἵκετο. πάντα γὰρ οὔπω
Ἐκ διὸς ἄνθρωποι γινώσκομεν, ἀλλ' ἔτι πολλὰ
Κέκρυπται, τῶν αἴκε θέλῃ καὶ ἐς αὐτίκα δώσει
Ζεύς. ὁ γὰρ ὃν γθονίοις ἀνδρῶν ἀγαφανδὸν ὀφέλλει,
Πάντοθεν εἰδόμενον, πάντῃ δ' ὄγε σήματα φαίνων.
Ἄλλα δέ τοι ἐρέει ἤπου διχόωσα σελήνῃ
Πλήθουσ' ἀμφοτέρωθεν, ἢ αὐτίκα πεπληθυῖα.
Ἄλλα δ' ἀνερχόμενον, τότε δ' ἄκρη νυκτὶ κελεύων
Ἠέλιος. τὰ δ' ἔτι καὶ ἀπ' ἄλλων ἔσεται ἄλλα
Σήματα καὶ πόδεσι νυκτὶ καὶ ἤματι ποιήσασθαι.
Σκέπτεο δὲ πρῶτον κεράων ἑκάτερθε σελήνης.
Ἄλλοτε γάρ τ' ἄλλῃ μιν ἐπιγράφει ἑσπέρθε ἄγλῃ.
Ἄλλοτε δ' ἀλλοῖαι μορφαὶ κεράουσι σελήνης
Εὐθὺς ἀεξομένῳ, αἱ μὲν πρότερα, αἱ δὲ τεταρτῇ,

Πολλάκι γάρ.) πολλάκις γάρ φησι γαλήνης οὔσης, θεασάμενός τις ἀνὴρ ἔμπεπρος, σημεῖον δὲ τ νυκτὸς προῆλθ καμῶνα ἐπιγινωσκόμενον, καὶ ἀσφαλισάμενος τὴν θάλασσαν

λαταρ ἐμπλείας ναυτικῆς, διεσώθη. ἢ πολλάκις γαλήνης οὔσης ἐν τῇ νυκτὶ, ἀσφαλίζεται τὰς περὶ τὴν νῆσον, ἐκ τῆς περὶ τὰ μέλλοντα προγνώσεως. οὐ γὰρ ἐκ τῆς παρούσης καὶ δεῖ προσμένειν τὴν χειμῶνα, ἀλλὰ πολλάκις ἐκ τῆς σημείων τεκμαιρόμεθα, καὶ μετὰ τρεῖς ἡμέρας χειμῶνα, καὶ μετὰ τοῦτο γενησόμενον, καὶ πολλάκις ἀπροσδοκήτως ὁ χειμὼν ἐπέρχεται. οὐ γὰρ πάντα οἱ ἄνθρωποι τὰ σημεῖα ἐπισάμεθα, ἀλλ' ἔτι καταλείπεται ἡμῖν ἄδηλά τινα, ἃ ἴσως καὶ ἐς ὕστερον δώσει ἡμῖν ὁ θεὸς τοῦ γνῶσιν.

Ἄλλοτε μὴν τρίτον.) ποτὲ μὲν μετὰ τρεῖς ἡμέρας γίνεται χειμὼν, ποτὲ δὲ μετὰ πολύ τι, ποτὲ δὲ καὶ ἀπροσδοκήτως, ἀλλ' ὅμως ἐκ τῶν προγινομένων σημείων γινώσκομεν.

Δώσει ζεύς.) κρεῖττον οὐρανὸς ὢν καὶ ἐν ἄλλῳ ζεὺς αἴτιος. καὶ ὁ μὲν οὐρανὸς φησιν ἐκ τῶν ἐκκαιομένων αὐτῷ ἀστέρων δείδωσιν ἡμῖν σημεῖα, ἄλλα δὲ ἡμῖν προέχει ἡ σελήνη, διχότομος γνωμένη ἀμφοτέρωθεν. καὶ γὰρ καθ' ἑκάστην αὐτῆς πέριοδον, διχότομος γίνεται δίς, ἀλλὰ καὶ τὰ πλήθη, τοτὲ μὲν πληροσέλινος δός. συμβάλλεσθαι δὲ οὐκ ὀλίγα εἰς πρόγνωσιν ὑδρίας τε καὶ χειμῶνος τὸν ἥλιον δυόντα καὶ ἀνατέλλοντα, ἃ μὲν εἰς ὅλον μῆνα, ἃ δὲ καὶ εἰς αὐτὸν τὸν ἡμέραν. ὁ γὰρ ἥλιος ἀνατέλλων, σημεῖα τῆς ἡμέρας προέχει χειμερίου ἢ ὑδρίας, καὶ δυόμενος ἐν νυκτός. ὁποῖα μηνὸς ἐν μηνὸς σημεῖα γίνεται, ὅτι τὰ ἕωα δια διέρχεται, δείκνυσιν. ὁ γὰρ Εὔδοξος, λεγόμενος φησὶν ἥλιος διέρχομενος, μαλακὰ γίνεται πνεύματα. ὁμοίως δὲ καὶ ταῦρος. δι δύμβρος δὲ, ζέφυρός τε πνεῖ καὶ βορέας ψυχρός. Ὁ γὰρ δὴ γενέμενος. ὅδε γὰρ ἀεὶ ὁ ζεὺς τὸ τῆς ἀνθρώπων γένος ὠφελεῖ, πανταχόθεν καὶ ἐν παντὶ ὁρώμενος, καὶ προέχων τὰ φανερὰ σημεῖα. τὸ δὲ πάνυ θεῖον ἐδόμεν, οἱ μὴ ἔτος ὀξέλαβον, ἤγουν σῆς γῆς, σῆς θαλάσσης, σῆς παντὸς μέρους τῆς οἰκουμένης. οἱ δὲ ἔτος, ἤγουν σῆς λοιμοδόνων, σῆς μαντείων, δι' ὀνείρων, σῆς σημείων, καὶ σῆς τῆς παραπλησίων πάντων.

Σκέπτεο δὲ.) πρισκέπτου δὲ πρῶτον, τοῦ τέσσαρα ἐν τῇ τρίτῃ ἡμέρᾳ, ἐν ᾗ καὶ φαίνεται τὰ κέρατα αὐτῆς τοῦ σελήνης. δεῖ αὐτῆς γὰρ δεῖν καταλαβεῖν τὰ ἐναντία ὄντα ἀλλήλοις, τοτέ μὲν χειμῶνος καὶ ὀνείρας. Ἄλλοτε γὰρ ἄλλου μὲν πρὸς τὴν ἑσπέραν.) ἤγουν λύσιν, ὅτι καὶ ἀρχεῖν ἔχει ἀφ' ἑνός. ἑνὸς γὰρ δεῖν καταλαβεῖν τὰ ἐναντία ὄντα ἀλλήλοις, τοτέ μὲν χειμῶνος καὶ ὀνείρας. ἀλλὰ τὴν ἑσπέραν φαίνεται εἰκότως. εἰ γὰρ νομίζεται ἐν ταύρῳ εἶναι ὁ ἥλιος περὶ τρίτην καὶ τετάρτην μοῖραν. αὕτη δὲ τοῦ ταύρου τρεῖς καὶ ἑξακοσίας μοῖραν, λυόντος τοῦ ἡλίου, λοιπὸν αὐτὴν πρὸς τὴν λύσιν φαίνεται, ἕως ἕνος ὁ ταῦρος καταδυήσῃ. ἐὰν δὲ ἐν δυδύμοις, τοῦ ἡλίου μετὰ τοῦ ταύρου λυόντος, αὐτὴ ἅπας λύει ὥρας ἔχει ὑπὲρ γῆν, ἕως καὶ οἱ δίδυμοι καταδύσωσι, καὶ ἔτος ὅλον αὐτὸς ἀποκλίνει, μεῖζον τὸ φῶς αὐτῆς γίνεται, καὶ ἀνωτέρω φαίνεται τοῦ λύσεως. ὅτι δὲν ἀφ' ἑνός δός, ἀλλὰ τρίτην καὶ τετάρτην ἡμέραν, καὶ ἔχει λαμπρὸν τὸ φῶς, ὑδρίας δὲ σημαντικὴ, καὶ πολλὰς φαντασίας ἔχει, ὡς καὶ ἐπὶ τοῦ ὑδάτων. ὡς γὰρ ἄν ταῦτα ἔχει φύσεως, ὅτω καὶ τὰ ἐν αὐτοῖς ἡμῖν προσπίπτει. ἀπόια γὰρ τὰ ἐν θολερῷ καὶ παχεῖ ὕδατι, ἀπόια δὲ τὰ ἐν καθαρῷ. ποτὲ μὲν δὲν διάφορόν ὅτι τὸ φῶς, ποτὲ δὲ καὶ ἡ μορφή. ὅτι μὲν γὰρ λαβεῖν δέον, ὅτι δὲ ἀπόια καὶ διάφορος. ὁ δὲ νοῦς, ὀνόματι ἀφ' ἑνός δός καὶ γνώσεως τρεῖς γὰρ καὶ ἡμέραν, διάφορον τοῦ πράτων αὐτῆς ἔχει χρῆμα. τὸ δὲ ἐπιγράφει, ἐπιχρωματίζει, ἢ μεταφορὰ ἀφ' τοῦ σωμάτων. λεγόντες δὲ, καὶ ραδιοποιοῦσι, χρηματίζουσιν εἰς κεραίας.

Τάων καὶ ποδὶ μηνὸς ἐφεσαόσθω κε τοῦθοιο.
Λεπτὴ μὲν καθαρήτε ποδὶ τρίτον ἦμαρ ἐοῦσα,
Εὐδιλιός κ' εἴη. λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρεύθης,

Πνεύμα-

Πνευματίη. παχίων δὲ καὶ ἀμβλείησι κεραίαις

Τάων καὶ περὶ μιῶνος.) ἀεὶ γὰρ τῶν περὶ τὴν αὔξησιν αὐτῆς σημείων, μιῶνά σε μαθεῖν περὶ ὅλου τοῦ μηνὸς, ἢ ὁμβρεινὸς, ἢ ἀνεμώδης, ἢ αὐχμηρὸς, ἢ νήνεμος ἔσται. Λεπτὴν μὲν, καθαρήν τε.) τουτέστι φιτάεια οὖσα, εἰ μὴ λαμπρὸν ἢ τὸ φῶς, οὐδείας δεῖται σημαντική. εἰ δὲ πυῤῥὸν καὶ ξανθὸν, ἄνεμον δηλοῖ. εἰ δὲ μέλαν καὶ ζοφῶδες, χειμῶνα καὶ ὑετόν. ἔστι δὴ οὖν αὐτὸ τὸ σελήνιακὸν φῶς δι' ὅλου ἀπαθὲς καὶ λαμπρόν. ἄζωον γὰρ τοῖς στοιχείοις διδόναι πάθη. ὁ δὲ παρακείμενος ἡμῖν οὗτος ἀὴρ πρὸς πάντα συμπάθειαν ἔχων, τοιοῦτον αὐτῆς ἀποδείκνυσι τὸ φῶς. ὅταν γὰρ πνεῦσι μέλωσι ξηροὶ ἄνεμοι, τῆς ξηρότητος τῆς ἐρημίας, ἀντιλαμβανόμενος ὁ ἀὴρ, πυῤῥὸς γίνεται καὶ ξανθός. καυστικὸν γὰρ ἀεὶ τὸ ξηρὸν καὶ πυρῶδες. καὶ οὗτος ὁ ἀὴρ τοιοῦτος γενόμενος, σφάλλει ἡμῶν τὴν ὄψιν οὕτως ὁρᾶν τῆς σελήνης τὸ φῶς, καὶ ἔστι σημεῖον ἀνέμων ξηρῶν. ἢ φιτάεια οὖσα, ἤγουν ἡμέραν ἄγουσα ἀεὶ ζυόδεσμον, καὶ οὖσα λεπτή. τοιαύτη γάρ δεῖ τριτάεια εἶναι, καθαρὸν καὶ διαυγὲς τὸ φῶς ἔχουσα, οὐδείας δεῖται σημαντική. λεπτὴ δὲ οὖσα, τουτέστι φιτάεα, καὶ σφόδρα ἐρυθρὰ οὖσα, καὶ πυρῶδες τὸ φῶς ἔχουσα, πνευμάτων δεῖται δηλωτική. Πνευματίη.) ὅταν ἄνεμοι μέλωσι πνεῖν, πάλιν τῆς ἐρημίας ὑγρότητος ὁ ἀὴρ ἀντιλαμβανόμενος, παχυμερής τις ἐκ τῆς ὑγρότητος γίνεται καὶ ζοφώδης. καὶ τοιοῦτον ἡμῖν δείκνυσι μέλαν καὶ ζοφῶδες τὸ τῆς σελήνης φῶς. καὶ γὰρ καὶ τὰς μέλανας τῶν νεφελῶν, καὶ ζοφώδεις ὑετοῦ αἰτίας φαμὲν εἶναι. τὰς δὲ καθαρὰς, ἀνέμων. τὰ γὰρ πνεύματα, ἃ σίφωνας καλοῦσιν οἱ ναῦται, συστρεφόμενα ἐν τῇ θαλάσσῃ, ἀνεμῶντα τὸ ὕδωρ. καὶ ζωισάμενα, παχέα καὶ ζοφώδη γίνεται, καὶ ἀποτελοῦσι πολλάκις νεφελώδες, ἐξ ὧν φέρεται καὶ ὁ ὑετός. σίφωνας δὲ αὐτοὺς λέγουσιν οἱ ναῦται, ἐπειδὴ πολλάκις καὶ αὐτανθρῶν τὸ σκάφος μετὰ τοῦ ὕδατος ἀνεμῶνται εἰς ὕψος, καὶ πάλιν ἀναθεωροῦντες, ἀφιᾶσι κάτω θεν. ἐκ γῆς δίνιον πολλὰ ἀναθυμιάσεις γίνονται, αἳ τὸν ἀέρα μεταβάλλουσι. Παχίων δὲ καὶ ἀμβλείησι.) παχυμερὴς καὶ ζοφωδεστέρα φαινομένη, καὶ ἔχουσας τὰς κεραίας ἀμβλυτέρας, ἐν δὲ ἡμέρᾳ ὅτι οὐκ ἔδει, εἴγε καὶ σκιὰν πέμπει τεταρταίαν οὖσαν ἐκεῖ, τὸ νότου ἀμβλύνεται. ὑγρὸς γὰρ καὶ χλιαρὸς οὗτος, καὶ δηλονότι παχυμερὲς ποιῶν τὸν ἀέρα τῇ ὑγρότητι, ῥιαύτῃ ὁρῶσι ποιεῖ τὴν σελήνην. καὶ οὖν τὸ νότου ἀμβλύνει καὶ ὑετοῦ ἐπιγινομένου, καὶ καὶ οὕτως. ὅταν δὲ παχεῖα ἢ, καὶ ἀμβλυτέρας τὰς κεραίας ἔχῃ, νότον προσδοκᾶν καὶ ὄμβρον. ὅταν δὲ τρίτῃ ἄγουσα ἡμέραν, μήτε τραχυκλαδεμένας ἔχῃ τὰς κεραίας, μήτε ὑπτάζῃ, ζεφύρου σημαντική. εἰ δὲ ἀεὶ ἡμέρας μέχρι δὲ, τὸ αὐτὸ τηρήσει κῆμα, χειμῶνος ἐπιτάχυνσι σημαντικὴ ἐστιν, ὅθεν κεκλοῦσθαι θεωρεῖν αὐτὰς ἀμφοτέρας τὰς κεραίας ἀεὶ πρώτης αὐξήσεως.

Τέτρακον ἐκ τριτάεια φόως ἀμβλυωπὸν ἔχουσα,
Ἢ νότῳ ἀμβλύνεται, ἢ ὕδατος ἐγγὺς ἐόντος.
Εἰ δ' ἐπ' ἀμφοτέρων κεράων, τρίτον ἡμαρ ἄγοσα,
Μήτε τι νυσάζοι, μήθ' ὑπτιόωσα φαείνοι,
Ἀλλ' ὀρθαὶ ἑκάτερθε πυδιγνάμπτωσι κεραῖαι,

Ἑκατέρωθι

Ἑσπέριοί κ' ἄνεμοι μένιν μετὰ νύκτα φέροιντο.
Εἰ δ' αὖτως ὀρθὴ καὶ τέρατον ἦμαρ ἀγινοῖ,
Ἠ τ' ἄρ χειμῶνα σημαγερομένοιο διδάσκει.

Τέρατον ἐκ Κριτάζιος.) ἐν δὲ ἡμέρᾳ οὐκ ἔδει εἶναι τὸ φῶς αὐτῆς ἀμφιλωβὸν, ἀλλ' ἔδει καὶ σκιὰν ἀποπέμπειν ἐξ αὐτῆς, ἢ δικλινότι ὀφείλοντα ἔχειν ἰχνεῦον τὸ φῶς, ἀμυνλωβὸν ἔχει. ἄρα οὖν ἐξ αἰτίας τινὸς ζοῦτο πεποίηκεν. καὶ νότῳ ἀμβλύνεται, καὶ ἰσομεγέθει ὕδατι. καὶ γὰρ ὁ νότος ἐξ ὑγροῦ ἀέρος ζωίσταται, διὸ καὶ βαρυβαρής. πάντα δὲ τὰ πυρώδη, ἐξ μὲν πυκνοῦ τοῦ ἀέρος ὀρώμενα, ἐρυθρὰ φαίνεται, ἐξ ὀρατοῦ δὲ καθαρά. καὶ κ' σελήνη δὲ καὶ ἀστέρες πάντες φλογώδεις οὐσίας κεκοινωνήκασι, καὶ αἰθέρος εἰσὶν ἐπιπλέμματα. διαυγὴς ζόνιον καὶ αὐτὰ φαινομένη, σημαίνει ἀνδίαν, ἅτι ἐξ ἠρεῦ τὴ ἀέρος φαινομένη. ἐρυθρὰ δὲ, λίνησιν πνεμάτων, ἐξ τῶν πρὶ τὸν ἀέρα πυκνωσιν, ὃς ἐξαχθὲν ἀνέμους ποιεῖ. καὶ γὰρ οὐδέν ὅτιν ἄλλο ἄνεμος, κ' ῥύσεις ἀέρος. Εἰ δὲ κ' ἐπ' ἀμφοτέρων.) οἱ ἄνεμοι πάλιν οἱ πνέοντες ζοῦτον τὸν περιεκέμενον ἡμῶν ἀέρα, ἐπὶ προσθεν ἑαυτῶν ὠθοῦνται. καὶ εἰ μὲν ἔφυρος πνεύσει, ἀφ' τὴ δύσεως ἐπὶ προσθεν, αὐτοῦ διωθούμενον τὸν ἀέρα, ἐμφασιν κ' μὴν παρέχει τοῦ δοκεῖν τῆς σελήνης τὰ κέρατα, ὡς ἐπὶ ἀναζολῆς πρὸς νῦ φέρεσθαι. ἐὰν δὲ ἀπηλιώτης πνεύσῃ, τότε ἀνάπαλιν κινεῖται τὰ κέρατα φαίνεται ὡς ὑπέρθυμφα. ἐὰν ἢ βορέας πνεύσῃ, τὸ ἐν κέρας τὸ βόρειον ἐπικαμπὲς γίνεται. πάλιν ἐὰν νότος, τὸ πρὸς νότον κέρας καμπόμενον. ὡς οὖν εἴπομεν ὁ ἀὴρ ὅτιν αἴτιος. ἐὰν οὖν φησι γ' ἡμέραν ἀφ' ζωδίου ἔχουσα, ἀμφοτέροις ζοῖς κέρασι μήτε νεύσῃ, ὡς ἐπὶ ἀναζολῆς, μήτε ὕψιος φαίνεται, ἀλλ' αὐ κεραῖαι αὐτῆς ὀρθαὶ οὖσαι, κυκλοτερεῖς φαίνονται, τότε μὴ οὐκ ἔστιν ἄνεμος δικλινότι. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ πρὸς τὸν ἑσπέραν μετ' ἐκείνην τὴν νύκτα, ἐν ᾗ διάδηλος φάνη κ' σελήνη, γνώσεται. καὶ ποιοὶ δέ φησιν πνεύσουσι. Μήτε τι νεύσῃ.) ἐὰν φησι τριταίαν ἡμέραν ἄγουσα, μήτε ὑπτιάζῃ μήτε ἐπινεύῃ ζοῖς κέρασι, τότε προσδέχου τοὺς ἑσπερίους ἀνέμους, τουτέστι τοὺς ἀφ' δύσεως, οἷον ζεφύρους καὶ ἀργέστας. ἐκρὸς γὰρ ὢν ὁ ἀὴρ, ἀς τὰ ζιαῦτα πνεύματα τὸν μεταβολὴν λαμβάνει, ἐξ τὸν ἑσπερινὸν ψύξιν. ἐὰν μὲν ζοι ἐπιμένῃ, καὶ τῇ δὲ ἡμέρᾳ ταύτας τὰς κεραίας ἔχουσα (λέγω δὲ ὀρθὰς) χειμῶνός ὅτι σημαντικὴ. πλέων γὰρ κ' ξηρασία ἐπιμένουσα, κατὰ τὸν ἐπιπλέον ἐκπύρωσιν, ἐν αὐτῇ ἔλκει τὸ ὑγρόν. κ' δὲ μεταβολὴ τῶν τ' σελήνης κεράτων, κατὰ ἐξαφόρσις καιρός. ἐν μὴ ζοῖς βορείοις κατασήμασι, κεπλότερος ὁ ἀὴρ ὑπάρχων, ἀκείθεν τὸν θέαν κ' μὴν παρέχει τότε, διὸ κ' ἐπινεύει ζοτωι καῦτα δοκεῖ τὰ κέρατα αὐτῆς. ὅταν ἢ κ' ἐκμάδος τινὸς πλήρης ὁ ἀὴρ ᾖ, τότε φαίνονται ἀναπνεῦσαι αἱ κεφαῖαι, ἐπὲ κ' πάντα τὰ κάθυγρα πλατυτερα φαίνεται. Εἰ δ' αὖτως ὀρθή.) εἰ ἢ τὸν ὁμοίαν φαντασίαν κ' τετρεάα ὅσα παρέχοιζο, ἀρχὴν χειμῶνος ἀέρος ἐομένου μαντεύει, ἐμοὶ δοκεῖ πυκνεμένου τὸ ἀέρος, ἐξ τὸν τ' ἀφ' τ' ἐσπέρας πνεαμάζων ῥύσιν. ἄτιον ἢ τ' πυκνάσεως, τὸ ἐξ πολλοῦ τ' ἐξαήματος, ἀφ' τ' ὠκεανὲ τὸ φρόμενον πνεῦμα, ἀδυνατεῖν τὴν παχύτητα τ' ἀέρος ὠθεῖν, ὅθεν ἐσαμένη κ' ἀνεξομένη ἀπαντᾶ κ' πύκνωσις. ἐξ τί ἢ ἐν μὴ γ' ἡμέρᾳ ἄνεμος, ἐν ἢ τῇ δεύτερον. ἐν μὴ τῇ γ', ὅτι τὸ ζωεσάμενον μέπεπεισμένον, ἀκίνητόν ὅτιν. ἐν ἢ τῇ δ, ἀδιάλειπτον γνόμενον, πύκνωσιν δικλοῖ.

Εἰ δὲ κεν οἱ κεράων τὸ μετόπορον εὖ ἐπινεύοι,
Δεινὸν ἔχθαι βορέω, ὅτε δ' ὑπτιάσσι, νότοιο.
Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος πόδι κύκλος ἑλίσσοι
Παντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη.
Μείζονι δ' ἀμ χειμῶνι πυρώτερα φοινιόσοιτο.
Σκέπτεο δ' ἐς πληθώτε, καὶ ἀμφότερον διχόωσαν,
Ἢ μὲν ἀεξομένην, ἢ δ' ἐς κέρας αὖθις ἰοῦσαν.
Καί οἱ ὧν χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου.
Πάντῃ γὰρ καθαρὴ, καὶ μάλ' δύδια τεκμήραιο.
Πάντα δ' ἐρευθομένην, λοπεῖν αὐήμοιο κελεύθους.
Ἄλλοθι δ' ἄλλο μελαινομένην, δοκέειν ὑετοῖο.
Σήματα δ' οὔτ' ἄρα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται.

